ΑΚΑΔΗΜΙΑ

EX LIBRIS
G.J. ARVANITIDI
BYZANTINI

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΤΕΛΕΤΟΥΡΓΙΑ ΙΕΡΑ

ἤτοι

ΔΙΑΤΥΠΩΣΙΣ ΣΥΝΤΟΜΟΣ ΤΩΝ ΙΕΡΟΤΕΛΕΣΤΙΩΝ, ΤΩΝ ΕΝ ΤΗ ΟΡΘΟΔΟΞΩ ΓΡΑΙΚΟΡΩΣΣΙΑΚΗ ΕΚΚΛΗΣΙΑ ΑΝΩΘΕΝ ΕΣ ΓΕ ΚΑΙ ΚΑΘ' ΗΜΑΣ

παρατηρουμένων

Συνταχθεῖσα μὲν Ῥωσσιστὶ καὶ προεκδοθεῖσα

παρὰ

Τοῦ Πανιερωτάτου καὶ Σοφωτάτου ἐν Ἱεράρχαις

ΚΥΡΙΟΥ ΓΑΒΡΙΗΛ.

Μητροπολίτου τῆς Μεγάλης Νοβογροδίας, καὶ τῆς Ἁγιοπετρουπόλεως· Ἐπὶ δὲ τῆς Ἁγιωτάτης Συνόδου, τῆς τὴν Ῥωσσιακὴν Ἐκκλησίαν Διοικήσεως, ἀξιοπρεπέστατα προεδρεύοντος.

Ἑλληνιστὶ δὲ μεθερμηνευθεῖσα, ὑπὸ

Ε. Α. τοῦ Β.

Ἐν Πετρουπόλει ἐκδοθεῖσα.

Ἔτει αψϟθ.

ПереводЪ сЪ Россійскаго на Елленскій языкЪ подЪ заглавіемЪ : о служеніяхЪ и чиноположеніяхЪ Православныя Грекороссійскія церкви, вЪ Санктпетербургской ЦензурЪ разсматриванЪ и поелику нѣтЪ ничего вЪ немЪ противнаго данному ЦенсорамЪ о разсматриваніи книгЪ наставленію; для того оный симЪ кЪ напечатанію и одобряется. Іюля 31 дня 1798 года Невской Академіи РекторЪ, Иверской АрхимандритЪ Антоній.

ΑΚΑΔΗΜΙΑ
ΑΚΑΔΗΜΙΑ

---

# ΤΟΙ͂Σ
# ΕΝΤΕΥΞΟΜΈΝΟΙΣ.

Τὰ ἐπὶ τῆς Μυστικῆς Σιὼν, τῆς Ἐκκλησίας λέγω, ἐν ταῖς πρὸς Θεὸν ἐνδελεχῶς ἀναπεμπομέναις δοξολογίαις τε καὶ δεήσεσι, καθ' ἑκάστην ᾄδεσθαι, κἀν ταῖς λοιπαῖς ἁπάσαις Ἱεροπραξίαις τε καὶ ἁγιστείαις τελεῖσθαι εἰωθότα· ταῦτα ἐπιμελῶς φιλοκρινεῖν, καὶ ᾗ προσῆκον νοεῖσθαι μανθάνειν, τοῖς μὲν ἀμυήτοις καὶ ἀτελέστοις, λόγος οὐδεὶς· τοῖς δὲ μεμυημένοις μὲν ὁπωσοῦν, ἐμμελετᾶν δ' ἐν αὐτοῖς, καὶ διακριβοῦν ἀμφιλαφῶς αὐτὰ ὀλιγώ-

ρως ἔχουσι, λόγος βραχύς. Ἀλλ' οὐκοῦν ἄρα τοῖς οὕτωπως διακειμένοις τὴν ἀνὰ χεῖρας Συγγραφὴν ὁ τῆς Βίβλου Πατὴρ διεπόνησε· τοὐναντίον γὰρ τοῖς γε τοιούτοις, καὶ τὰς θύρας ἂν ἐνεκέλευσεν ἐπιτεθεῖσθαι εἰκότως, ἅτε βεβήλοις. Τὸ γὰρ Καταπέτασμα μόνοις ἄξιον διαίρεσθαι τοῖς μετὰ πόθου εἰλικρινοῦς αἱρουμένοις προσιέναι· οἷς περ ἄρα καὶ τά τῆς Μυσταγωγίας προσατενίζειν ἐφεῖται, καὶ δαψιλέστερον περιλάμπεσθαι γίγνεται, ἐκ περιουσίας φωτιζομένοις, τῷ ἐξ ὅλης καρδίας, τοῖς ἐν τῷ Ναῷ τοῦ Θεοῦ λεγομένοις καὶ ἐπιτελουμένοις προσέχειν αἱρεῖσθαι, καὶ περὶ τούτων εἰδέναι ἐφίεσθαι, ὅπως τε, καὶ καθ' ὅντινα δὴ σκοπόν τε καὶ λόγον, οὕτως ἕκαστα τεθέσπισται καὶ διετυπώθη λέγεσθαι καὶ ἐπιτελεῖσθαι. Τούτων δὴ

χάριν

χάριν, τῶν οὕτω σπουδῆς καὶ γνώμης ἐχόντων, ὁ Ἱεροτελεστὴς ἡμῖν καὶ Ἱεροδιδάσκαλος οὗτος, ὁ ἐπὶ τῆς Ἁγιωτάτης Συνόδου, τῆς ἁπάσας τὰς ἐν ὅλῳ τῷ Ῥωσσιακῷ Κράτει, Ἐκκλησίας διεπούσης προεδρεύειν λαχὼν ἄριστά τε καὶ ἀξιοπρεπέστατα Ἱεράρχης, οἷα δὴ λαμπτὴρ ἐπίσημος, ἢ δᾳδοῦχος τις καθεστὼς φωτοφόρος, τὸν δε ἡμῖν τὸν λύχνον παρασκευάσαι τε καὶ προβαλέσθαι διὰ σπουδῆς ἐποιήσατο· ὡς ἂν οἱ πιστοὶ διὰ τούτου, τὰ διαβήματα αὐτῶν κατευθύνοντες, μετὰ τοῦ Δαβὶδ λέγειν ἔχοιεν: „Εὐφράνθην ἐπὶ „τοῖς εἰρηκόσι μοι, εἰς οἶκον Κυρίου πορευ„σώμεθα, καὶ τὸ ἑξῆς μετὰ τοῦτο: ἑστῶ„τες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐ„λαῖς σου Ἱερουσαλήμ. ἐπᾴδειν ἐν ἀγαλλιάσει πνεύματος καὶ εὐφροσύνῃ, ὥσπερ

ἐν

ἐν οὐρανῷ νομίζοντες ἑςᾶναι, ὁσάκις ἐν τῷ Ναῷ τῆς τȣ̃ Θεȣ̃ δόξης ἑςήκασι.

Τȣ́τῳ ἡμεῖς τῷ καλῷ καὶ πανωφελεῖ Πονήματι, τῷ Ῥωσσιςὶ ὑπ' αὐτȣ̃ συγγραφέντι περιτυχόντες, ἐπὶ τὴν Ἑλλάδα φωνὴν μετενεγκεῖν προσεθέμεθα, ȣ̉́τ' ἀλυσιτελὲς, ȣ̉́τε περιττὸν ἄλλως κρίναντες, ἀλλὰ καὶ λίαν σωτελὲς ἔσεσθαι καὶ ὀνησιφόρον, εἰ καὶ Ἑλληνιςὶ φθεγγόμενον ἐπεκδοθείη τὸ Σύγγραμμα. Ὀυχ ὅτι τῶν τοιȣ́των ὑπομνημάτων ἡ καθ' ἡμᾶς ὀρθόδοξος Ἀνατολικὴ Ἐκκλησία ἐν χήτει καθέςηκεν· ὀυκ ὀλίγοι γὰρ καὶ οἱ ἐν αὐτῇ τὴν παραπλησίαν ἐνςησάμενοι πρόθεσιν· ὧν καὶ ὁ Συγγραφεὺς αὐτὸς ἐνίων, ἐν τῇ αὐτȣ̃ Προȣ̈φηγήσει μνείαν πεποίηται, καὶ ταῖς ἐξ

αὐτῶν

αὐτῶν ἐπιμαρτυρήσεσιν, ὅπη παρῆκε, δι' ὅλης τῆς πραγματείας ἐχρήσατο· ὧν τε δὴ, καὶ ἅτις τὸν τὰ περὶ τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας πάλαι διειληφότα ἐν τοῖς πρώτοις ἕνα ὑποθείη γενέσθαι, κὴ τῆς τοιᾶσδε Συγγραφικῆς ἰδέας ἀρχηγὸν, καὶ οἷον εἰπεῖν παράδειγμα εἰς μίμησιν προτεθὲν, ἐκ ἂν πολύτι παρενεχθείη τυχὸν τῆς ὀρθῆς ὑπολήψεως. Ἀλλ' ἦν ἄρα καὶ ἄλλα, τὰ τῇ Μεταφράσει ταύτῃ ἐπιχειρῆσαι ἡμᾶς κινήσαντα. Πρῶτον καὶ γὰρ, ἐδὲν ἧπε κωλύει, πρόσγε τοῖς ἄλλοις οἷς εὐμοιρῦμεν, καὶ τόδε ἡμῖν προσεπανεῶχθαι τὸ Παιδευτήριον· καὶ ἐδὲν ἴσως ἄτοπον, καὶ τὲς μηδαμῶς πενομένες, ἐκ περιεσίας ἐθέλειν, τάγε τοιαῦτα, ἐπιπλετίζεσθαι· καθαπερεῖν, καὶ τὲς μὴ ἐν ὁλοτελεῖ ἀναστρεφομέ-

φομένες τῷ Φώσει ἐπικαταυγάζεσθαι καὶ χαίρειν, Φῶς ἐπὶ Φωτὶ προσλαμβάνοντας δαψιλέστερον. Συμβαίνει δὲ τὰ πολλὰ, καὶ τοῖς ὑφ᾽ ἑτέρων προδιειλημμένοις πρὸς τῶν ἐφεξῆς διαλαβεῖν ἐπιβαλλομένων, ὡς ἐν ἐπιθήκης μοίρᾳ, ἔκ νέοτι προσεπάγεσθαι, τὸ ἄτε διαλαθὸν τοὺς προδιελθόντας, ἅτ᾽ οὖν καὶ κατὰ περίστασιν ἐπιγενομένῳ τῷ χρόνῳ, ἐπιπαρατηρηθέν τε καὶ προσεπεξεργασθὲν, οὔτε περιττὸν τοῦτο, οὔτε κομιδῇ ἄχρηστον. Ἔπειτα δὲ, κἀκεῖνο μάλιστα τὴν Μετάφρασιν ταύτην λυσιτελῆ οὐχ ὅπως ἀποφανεῖν ὑπειλήφαμεν, ἀλλὰ καὶ λίαν χρειώδη, καὶ μονονουχὶ ἀναγκαίαν, ὅτι διὰ ταύτης ἡλίου λαμπρότερον καταφανεῖται, τὴν παρὰ τοῖς Ῥώσσοις καὶ τοῖς Γραικοῖς Ἐκκλησίαν, τῇ τε ἐξ Ἀποκαλύψεως ἄνωθεν Δογματο-

ματολογίᾳ, καὶ τῇ ἀνέκαθεν παραδοθεί-
σῃ Ἱερᾷ Μυσταγωγίᾳ, μίαν εἶναι καὶ τὴν
αὐτήν. Ἐπ' ἀκριβὲς μίαν: Τοῖς αὐτοῖς
δηλονότι Δόγμασιν ἀπαραλλάκτως ἑκα-
τέρας ἐπιστοιχούσης, καὶ τοῖς αὐτοῖς με-
λῳδήμασι τὸν ἐπὶ πάντων Θεὸν μεγα-
λυνούσης, μιᾷ τε καρδίᾳ καὶ ἑνὶ στόματι·
ὡς μηδὲ κατὰ ἰῶτα ἕν, ἢ κεραίαν ἐν
αὐταῖς, ὁτιοῦν παρεισενεχθῆναι. ἐν χι-
λιοστύος ἐτῶν μικροῦ παραλείψαντι χρόνῳ, τὸ
παρηχοῦν καὶ παράτονον. Ἓν γὰρ ἐν ἀμ-
φοτέραις κατὰ τὸ ἀκριβέστατον τονεῖται,
(καὶ ἐμφραγεῖεν ἄρα τῶν ὑπεναντίων
τὰ στόματα, τῶν ἤτοι ὑπειληφότων, ἢ
πλάττειν τε καὶ καταψεύδεσθαι χαιρόν-
των, ὁποιανοῦν χωρεῖν ἐν αὐταῖς τὴν παρή-
χησιν.) ἓν ἐπιτελεῖται τὸ ᾆσμα, τὸ ἐν αὐταῖς
ὑπὸ τῶν πιστῶν ἐπὶ τῆς γῆς, ὡς ὑπὸ τῶν
Ἀγγέ-

Ἀγγέλων ἐν οὐρανοῖς προσᾳδόμενον, τὸ Τρισάγιον. Καθάπερ οὖν καὶ ὁ Θεὸς εἷς ἐστὶ, καὶ ἡ εἰς αὐτὸν Πίστις, ἡ ὀρθῶς ἔχουσα, μία· καὶ ἡ κατὰ ταύτην λατρεία τε καὶ προσφερομένη δοξολογία τε καὶ αἴνεσις μία. Ἡ αὐτὴ καὶ οὖσα, καὶ ἄχρι συντελείας ἐς ἀεὶ ἐσομένη ἀπαρεγχείρητος καὶ ἀμετακίνητος, ἐν τῇ Καθολικῇ καὶ Ἀποστολικῇ ἡμῶν Ἐκκλησίᾳ· ἧς αἱ τοῦ Ἅδου πύλαι οὐμήποτε κατισχύσειαν!

ΤΕΛΕ-

# ΤΕΛΕΤΟΥΡΓΊΑ ἹΕΡᾺ.

ἤτοι

ΠΕΡΙ ΤΗ͂Σ ἘΝ ΤΑΙ͂Σ ἹΕΡΟΤΕΛΕΣΤΙΑΙΣ ΔΙΑΤΥΠΏΣΕΩΣ, ΤΗ͂Σ ἘΝ ΤΗ͂Ι ὈΡΘΟΔΟΞΩ, ΓΡΑΙΚΟ-ΡΩΣΣΙΑΚΗ͂Ι ἘΚΚΛΗΣΙΑ, ΠΑΡΑΤΗΡΟΥΜΈΝΗΣ.

## Προὐφήγησις.

Ὅτι μὲν παρὰ τῶν Ἱερῶν Ἀποστόλων, καὶ τῶν αὐτοὺς καθεξῆς διαδεξαμένων, διάφοροι ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ τελετῶν διετυπώθησαν Διατάξεις, οὐδενὶ ἄδηλον· Ὁποίᾳ δ᾽ ἄρα τοῦτο βουλῇ καὶ προθέσει ἐγένετο, ἕκαστον τῶν εἰς Χριστὸν πιστευόντων ἐπιμελῶς ἐπιθεωρεῖν καὶ προσέχειν εἰκός γε ἅμα καὶ ἄξιον. Οὕτω καὶ γὰρ, πρὸς τῷ τοὺς ἐκείνων καμάτους, οἷον ὑπ᾽ ὄψιν ἡμετέραν τιθέναι, καὶ τὸ πηλίκῃ τῇ σπουδῇ τε καὶ ἁγιότητι τὰ τῆς Ἐκκλησίας τεθεμελίωται καὶ κατεστήρικται, ἐντεῦθεν μάλιστα μαθεῖν ἡμῖν καὶ ἐπιγνῶναι προσγίνεται.

Ταύτῃ

Ταύτῃ δέτοι, παντὶ τῷ εὐσεβεῖν αἱρȣμένῳ, αἱ τοιαῦται Διατυπώσεις κατὰ βάθος ἐπιγνωσθεῖσαι, ȣδὲν ἄλλ' ἢ Διδασκαλίαι τινὲς τῶν Χριςῷ λατρευόντων ἡγητέαι τε εἰσὶ καὶ ὀνομαςέαι, εἰς ὑπακοὴν πίςεως ἄγȣσαι καὶ εὐλάβειαν, καὶ εἰς ἀγάπην τὴν πρὸς Θεὸν τὸν ἁπάντων δοτῆρα καὶ πρύτανιν, τὴν ψυχὴν διεγείρȣσαι, καὶ εἰς ὑπόμνησιν ἀνακαλȣ̃σαι τῶν παρ' αὐτȣ̃ εὐεργετημάτων, ὑπὲρ ὧν αὐτῷ πᾶσα ἐξ ἡμῶν εὐχαριςία τε καὶ εὐπέθεια ἐποφείλεται.

Πρὸ πάντων ȣ̃ν ὁ αἰὼν ἀναληπτέος ἂν εἴη τῇ διανοίᾳ, καθ' ὃν ὁ Σωτὴρ τȣ̀ς θεμελίȣς τῆς Ἐκκλησίας αὐτȣ̃ κατεβάλετο· καὶ μὲν δὴ, καὶ τὰ ὑπὸ τῶν θεοκηρύκων Ἀποςόλων παραδοθέντα τε καὶ διαταχθέντα ἐπιθεωρητέον, καὶ τὰ ὑπὸ τῶν Διαδόχων αὐτῶν ἐφεξῆς ὕςερον.

Ἀλλ' ἐν τῷ ἀνὰ χεῖρας Συγγράμματι, πρὸς ȣδὲν ἡμῖν ἀποσκοπεῖν πρȣ̀κειτο, ἀλλ' ἢ πρὸς τὴν τῶν ἐν τῇ Ἐκκλησίᾳ διατεταγμένων τελετῶν Ἀρχαιότητα, τὴν ὑπὸ Θεσπεσίων Ἀνδρῶν ἐπιμαρτυρȣμένην, καὶ μὴν καὶ τȣ̀ς λό-

γȣς

γους προσανασκέψασθαι, δι, ους ἐκείνων ἑκάστη διατεθέασισαι.

Εἴτις γεμμὴ τὰς μεταληπτικωτέρας, τουτέστι τὰς δι' Ἀλληγορίας ἀποδιδομένας τῶν τοιούτων τελετῶν ἀναπτύξεις εἰδέναι δι' ἐφέσεως ἔχοι, μετίτω δὴ τὰ συγγραφέντα ὑπὸ τοῦ Ἱεροῦ Συμεὼν τοῦ Θεσσαλονίκης, καὶ τὰ ὑπὸ Γερμανοῦ τοῦ Κωνσταντινουπόλεως Πατριάρχου, καὶ ἑτέρας δὲ παραπλησίους πραγματείας, ἐξ ὧν τὰς τοιάσδε Διερμηνεύσεις αὐτῷ παρέσται πορίσασθαι.

# ΠΙ'ΝΑΞ ΤΩ'Ν ΚΕΦΑΛΑΙ'ΩΝ

Κεφ:

Α. Περὶ Ἐκκλησίας, ἤτοι θείȣ Ναȣ̃ κατασκευῆς. §. 1
Περὶ τῶν ἐν ταῖς παλαιαῖς Ἐκκλησίαις μερῶν τȣ̃ Ναȣ̃, ϗ τȣ́των κατὰ Στοιχεῖον ἐπιγεγραμμένων, ἐπὶ τȣ̃ Πίνακος. §. 13
Β Περὶ καιρȣ̃ τȣ̃ τῆς Προσευχῆς. - §. 31
Γ. Περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ τετυπωμένων ᾄδεσθαι· ἤτοι περὶ τȣ̃ Ἑσπερινȣ̃, καὶ τȣ̃ Ὄρθρȣ, καὶ Λ'. περὶ τȣ̃ Μικρȣ̃ Ἑσπερινȣ̃. - §. 34
Ἔκθεσις τῆς Κυριακῆς προσευχῆς. - §. 39
Περὶ τῆς Ἀκολȣθίας τῶν Ἀγρυπνιῶν. §. 42
Περὶ τῆς τῶν θείων ὑμνȣ́ντων ϗ Ἱκεσιῶν κατ' ὄρθρον Ἀκολȣθίας. - §. 76
Δ. Περὶ τῆς τῶν Κανονικῶν Ὡρῶν Ἀκολȣθίας. §. 116
Ε. Περὶ τῆς Λειτȣργίας. - - §. 121
Περὶ τȣ̃ πρώτȣ μέρȣς τῆς Λειτȣργίας. - - - - §. 123
Περὶ τȣ̃ Δευτέρȣ μέρȣς τῆς Λειτȣργίας. - - - - §. 161
Περὶ τȣ̃ Τρίτȣ μέρȣς τῆς Λειτȣργίας. §. 187
Περὶ τȣ̃ Συμβόλȣ τῆς Ὁμολογίας τῆς Πίστεως. - - - §. 201
ϛ. Περὶ τῆς Λειτȣργίας τῶν Προηγιασμένων. §. 347
Ζ. Περὶ τῶν Ἱεροτελεστιῶν τῶν ἐπὶ τοῖς Κατηχȣμένοις, καὶ ἐπὶ τῷ Βαπτίσματι, καὶ ἐπὶ τῷ Χρίσματι. - - - §. 255
Η. Περὶ Μετανοίας, ἤτοι Ἐξομολογήσεως. §. 268

Θ.

Κεφ:

Θ. Περὶ τῆς Ἱερωσιώνης. - - - §. 273

Περὶ Χειροτονίας Λαμπαδέχȣ. - §. 284

Περὶ τȣ̃ς Ἀναγνώςȣ καὶ ψάλτȣ. - §. 285

Περὶ τῆς Ὑποδιακόνȣ. - - §. 286

Περὶ τῆς Διακονίσσης. - - §. 287

Περὶ Διακόνȣ καὶ Πρεσβυτέρȣ. - §. 288

Περὶ Ἐπισκόπȣ. - - - §. 302

Περὶ Πατριάρχȣ. - - §. 307

Περὶ τῶν λοιπῶν ἐν τῇ Ἐκκλησίᾳ τάξεων. - - - - §. 331

Περὶ τῶν Ἐκκλησιαςικῶν Ὀφφικίων, ἤτοι περὶ τῶν ἔργων τε καὶ ὑπεργημάτων ἑκάςης τῶν Ἱερῶν τάξεως. - § 335

Ὀφφίκιον τῶν Διακονισσῶν. - §. 337

Ὀφφίκιον τὸ τȣ̃ Διακόνȣ. - - §. 338

Ὀφφίκιον τὸ τȣ̃ Ἀρχιδιακόνȣ. - §. 339

Ὀφφίκιον τὸ τȣ̃ Πρεσβυτέρȣ. - §. 340

Ὀφφίκιον τὸ τȣ̃ Ἐπισκόπȣ. - §. 341

Ὀφφίκιον τὸ τȣ̃ Μητροπολίτȣ. - §. 343

Ὀφφίκιον τὸ τȣ̃ Πατριάρχȣ. - §. 244

Περὶ τȣ̃ Μοναςικȣ̃ βίȣ. - - §. 343

Ι. Περὶ τȣ̃ Γάμου. - - - §. 348

Περὶ τῶν Μνήςρων· ἤτοι περὶ τῆς τῶν δακτυλίων μεταμείψεως. - §. 349

Περὶ τȣ̃ Στεφανώματος. - - §. 350

ΙΑ. Περὶ τȣ̃ τελευταίȣ Χρίσματος· ἤτοι περὶ τȣ̃ Ἐυχελαίȣ. - - - - §. 351

ΙΒ. Περὶ τῆς τῶνΝαῶν Καθιερώσεως, ἤτοι περὶ τῶν τȣ̃ Ναȣ̃ Ἐγκαινίων. - - §. 352

ΓΙ.

Κεφ:

ΙΓ. Περὶ τῆς τȣ̃ Μύρȣ ἀφεψήσεως. - §. 353

ΙΔ. Περὶ Ἡμερῶν Ἑορτασίμων. - - §. 352

ΙΕ. Περὶ Λιτανευτικῶν Προελεύσεων. - §. 3 5

Ις. Περὶ τȣ̃ Ἁγιασμȣ̃ τȣ̃ ὕδατος. - - §. 3 6

ΙΖ. Περὶ τῶν Νηστειῶν. - - - §. 357

ΙΗ. Περὶ τȣ̃ Ἐνταφιασμȣ̃ τῶν τεθνεώτων. §. 357

ΙΘ. Διερμήνευσις τῶν ὀνομάτων, τῶν εἰς Ἀνάπτυξιν τῶν Ἐκκλησιαστικῶν τελετῶν καὶ θεσμῶν ἐν χρήσει γινομένων.

# ΚΕΦΑΛΑΙΟΝ Α΄.

## ΠΕΡῚ ἘΚΚΛΗΣΊΑΣ, ἬΤΟΙ ΘΕΊΟΥ ΝΑΟΥ̃ ΚΑΤΑΣΚΕΥΗ̃Σ.

ΧΡΙΣΤΟΥ̃ τοῦ Σωτῆρος ἡμῶν ἐπ' ἐξαγορᾷ τοῦ ἀνθρωπίνου γένους ἅπαξ εἰς τὸν κόσμον ἐπιδημήσαντος, καὶ θυσίαν ἑαυτὸν προσενεγκόντος αἴδιον· τῶν δ' ἐπὶ τῆς παλαιᾶς Διαθήκης προτυπώσεων οὐκέτι τοῦ λοιποῦ ἀναγκαίων καθισταμένων, εἰκὸς γε ἦν καὶ τὰς προσφορὰς τῶν ὁλοκαυτωμάτων πεπαῦσθαι, καὶ τῷ ἐν Ἱεροσολύμοις Ναῷ τὴν ἐσχάτην τέως ἐπενηνέχθαι ἀνατροπὴν καὶ κατάλυσιν. Ἤδη καὶ γὰρ τοῦ φωτίσειν μέλλοντος τὴν οἰκουμένην Εὐαγγελικοῦ φωτὸς ἐπιλάμψαντος, καὶ πολλῶν δὴ ἐκ τῶν τῆς ψευδοθείας Θεραπευτῶν, τοῖς πιστεύουσι συγκαταγραφομένων, αὐτὸς ὁ μηδενὶ πέρατι διαστήματος περιορίζεσθαι φύσιν ἔχων, οὐκ ἐν Ἱεροσολύμοις μόνον, ἀλλ' ἐν παντὶ τόπῳ προσκυνεῖσθαι διεκελεύσατο· (Ἰωάν: Κεφαλ: Δ΄. Ἐδαφ: 21.)

§. 2.

Ἀλλὰ γὰρ τὸν Ἅγιον αὐτῦ καὶ Μυςικὸν Δεῖπνον ὁ Κύριος διατάσσων, ἱερὸν ἠξίωσεν εἶναι τὸν τόπον, ἐν ᾧ ἐπιτελεῖσθαι ἔμελλεν αὕτη ἡ ὐράνιος πανδαισία· ὡσαύτως δὲ καὶ τοῖς ὑπ' αὐτῦ ἐπὶ τὸ τῦ Εὐαγγελίυ κήρυγμα ἐκλεχθεῖσι μαθηταῖς ποιεῖν παρήγγειλεν ἐντειλάμενος: Τῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Πρὸς ἣν δὴ τῦ Κυρίυ ἐντολὴν ταύτην, καὶ Παῦλος ὁ Θεῖος Ἀπόςολος τὰς Κορινθίων διανοίας ἐπιςρέφων ἐν τοῖς δε τοῖς ῥήμασιν: Ὁσάκις ἂν ἐσθίητε τὸν Ἄρτον τῦτον, καὶ τὸ Ποτήριον τῦτο πίνητε, τὸν θάνατον τῦ Κυρίυ καταγγέλλετε, ἄχρις ὗ ἂν ἔλθῃ· τὸ ἱερὸν τῦτο Μυςήριον ἐν τῇ Συνάξει τῶν εἰς Χριςὸν πιςευόντων ἐπιτελεῖσθαι δεῖν ἄχρι τῆς συντελείας τῶν αἰώνων παρεμβοᾷ. (Α΄. πρὸς Κορινθ: Κεφ: ΙΑ. 26. Χρυσόςομος ἐν Ὁμιλ: ΚΖ΄.)

Οὕτω δὲ τῷ τῦ Χριςῦ ἐντάλματι καὶ οἱ Θεῖοι Ἀπόςολοι πειθαρχῦντες, ὐ μόνον οἰκίας τινὰς ἐπὶ τῇ τελετῇ τῦ Μυςηρίυ διετέλυν καθιερῦντες, ἀλλὰ καὶ Ἐπισκόπυς ἔτι, καὶ Πρεσβυτέρυς, καὶ Διακόνυς, ἢ τὺς ἄλλυς τῶν ἐν τῷ Κλήρῳ ἐπι-

ἐπικαθίςων· καθάπερ ἐν Αἰγύπτῳ Μάρκον πεποιηκέναι ἀναγινώσκομεν· ἢ Παῦλον δὲ τὸν Ὀνησιφόρε οἶκον ἀποχρήσαθαι πρὸς αὐτὸ δὴ τῦτο, ἢ τὸν Τίτον ἕνεκάγε τέτε ἐπὶ Κρήτης παραλιπέθαι. Ὅτι δὲ ἄρα οἱ πιςοὶ ἐν Ναῷ, τῶν ἰδίων ἐκτὸς οἰκήσεων κειμένῳ, ποιεῖθαι εἰώθεσαν τὰς Σωάξεις, ἡ τῶν Ἀποςολικῶν Πράξεων Βίβλος παρίςησιν. Ἀλλὰ καὶ ὁ Θεσπέσιος Κλήμης ὁ Ῥώμης πρόεδρος, περὶ τὸ τέρμα τε Ι΄. αὐτε Βιβλίε διέξεισι: Θεόφιλον, (ὅυπερ ὁ Ἱερὸς Λεκᾶς ἐν τῷ Ἐυαγγελίῳ ἐπεμνήθη, κατ' ὄνομα προσαγορεύσας·) εὐρείαν τινὰ οἰκοδομὴν ἐν τῷ Παλατίῳ αὐτε καθιερωκέναι, εἰς τὸ τὰ τῆς Ἱερᾶς Μυςαγωγίας ἐν αὐτῇ διαπράττεθαι. (ἐν Κεφ: ΙΑ΄: 26.)

§. 3.

Τοιὲς δέ τινας Ναὲς, ἐπὶ τελετῇ τῶν Θείων καθιερῶθαι, καὶ τῆς Α΄. πρὸς Κορινθ: Ἐπιςολῆς τε Ἀποςόλε δείκνυται Παύλε: ἔνθα τέτοις ἐπιπλήττων, ὅτι ἐν τῇ Ἐκκλησίᾳ σωερχομένοις χίσματα ἐν αὐτοῖς ὑπῆρχε· καὶ ὅτι τὸ ἴδιον ἕκαςος δεῖπνον, ὥςε φαγεῖν καὶ πιεῖν, σωεκόμιζε: Μὴ γὰρ οἰκίας (ἔφασκεν)

ὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε; ἐν οἷς δήπου, τοὺς Ἱεροὺς Ναοὺς, ἀπὸ τῶν ἰδιαιτέρων οἰκημάτων σαφῶς ἐστὶν ὁ Ἀπόστολος ἀντιδιαστέλλων. Ὁ μέντοι Θεῖος Χρυσόστομος, τὸ τοῦ Ἀποστόλου ὑπελθὼν πρόσωπον, οὕτω πρόεισιν: Ου κωλύω (φησὶ) τοῦτο· ἀλλ' ἐν οἰκίᾳ, ἀλλ' ἐν ἀγορᾷ, ἀλλ' ἐν βαλανείῳ γινέσθω· ἡ γὰρ Ἐκκλησία οὐ διαλέξεως, ἀλλὰ διδασκαλίας χωρίον ἐστίν.
(Α΄. πρὸς Κορινθ: Ὁμιλ: Λϛ΄.)

## §. 4.

Καίτοι δὲ ἐπὶ τῶν διωγμῶν, ὡς λίαν δυσχερὲς ἦν χριστιανοῖς, τοιάσδε οἰκοδομὰς ἱερὰς ἀνεγείρειν· οἴκοι γε μὴν ἰδίᾳ τὰς Συνάξεις τινὰ τοιαῦτα παρὰ σφίσιν ἐτέλουν· ἤ γουν παρὰ τοῖς τῶν ὑπὲρ Χριστοῦ ἀθλησάντων τύμβοις· ἔσθ' ὅτε δὲ καὶ ἐντὸς σπηλαίων, πόῤῥωπου τῶν Ἄστεων ἀπεχόντων· Περὶ οὗ Ἰουστῖνος ὁ Μάρτυς (ἐν Κεφαλ: ΙΑ΄. τῆς Ἀπολογ:) διαπιστοῦται. Προσέτι δὲ, καὶ πολλὰς ἱερὰς δομήσεις, Ἐυοδίου τε καὶ Ἰγνατίου περιόντων τῷ βίῳ, κατά τε Μεσοποταμίαν, καὶ ἐν Ταρσῷ τῆς Κιλικίας, χριστιανοῖς ὑπάρξαι κατάδηλον·
(Ὅρα Εὐσεβ: ἐν τῷ Γ΄. τῆς Ἐκκλ: Ἱστορ: Κεφ: ΚΒ΄.

καὶ

Καὶ τὸν Θεῖον Ἰγνάτιον ἐν τῇ πρὸς Μαγνησ: Ἐπισ:, καὶ τῇ πρὸς Φιλαδελφ: Καὶ τὸν Ἱερὸν Κλήμεντα, ἐν Ἐπισ: Α'. τῇ πρὸς Κορινθίους.)

Παρὰ ταῦτα δὲ, καὶ πολλοὺς ἴσμεν Ἐπισκόπους, καὶ Πρεσβυτέρους, καὶ Διακόνους πάλαι γενέσθαι, τοὺς ὑπὲρ τῆς ἀληθοῦς πίστεως τὴν εἰς θάνατον δίκην ὑπελθεῖν ἑλομένους, οἷς ἱερὰ πλεοναχοῦ τεμένη, κατά τε τὸν πρῶτον, καὶ τὸν δεύτερον τῆς Ἐκκλησίας Αἰῶνα, δεδομῆσθαι δείκνυται.

§. 5

Ἐν δὲ τῷ Αἰῶνι τῷ Γ'. Μαρῖνον τὸν θεσπέσιον, τὴν ὑπὲρ Χριστοῦ ἄθλησιν ὑπενεγκόντα, παρὰ τῇ ἱερᾷ τραπέζῃ ὑπὸ Θεοτέκνου τοῦ Ἐπισκόπου ἐναποτεθεῖσθαι, Εὐσεβίου καθιστοροῦντος (ἐν Βιβλ: Ζ'. Κεφαλ: Ι'.) ἀναγινώσκομεν. Καὶ Ὠριγενης δὲ (ἐν Ὁμιλ: Γ'. τῶν εἰς τὴν Γένεσιν καὶ ΙΘ'. τῶν εἰς τὸ Λευιτ:) τοὺς χριστιανοὺς διέξεισιν, οὐ μόνον ἐν ταῖς Ἑορτασίμοις, ἀλλὰ κἂν ταῖς λοιπαῖς ἡμέραις εἰς τὸν Ναὸν θαμίζειν ἐπ' ἀκροάσει τοῦ Θείου λόγου. Τοῦθ' ὅπερ καὶ αἱ τοῦ Θείου Μάρτυρος Κυπριανοῦ Ἐπιστολαὶ πολ-

πολλαχȣ̃ διεξίασιν· (Ὅρα Βιβλ: Α΄. Ἐπις: Ζ΄. καὶ Θ΄. Καὶ Βιβλ: Γ΄. Ἐπις: ΙΓ΄.)

§. 6.

Οἱ μὲν οὖν Ναοὶ, τῷ Θεῷ εἰώθεσαν ἅπαντες καθιερȣ̃σθαι· ἐπειδὴ δὲ, ἐν ταῖς κατὰ τῶν πιςῶν ἐπηρείαις, μᾶλλον εὐπετὲς ἦν τȣ̀ς Ναȣ̀ς ἐν τοῖς Κοιμητηρίοις οἰκοδομεῖσθαι, ὡς πόῤῥω ἀφεςῶσι τῶν Πόλεων· διὰ δὴ τȣ̃το παρὰ τοῖς Τύμβοις οἱ Ναοὶ ἀνεγείροντο τοῖς τῶν Μαρτύρων, ὧν καὶ ταῖς πρὸς Θεὸν ἐπιπεποιθέναι πρεσβείαις ἀνενδοιάςως προσῆκεν· κἀκ τȣ́τȣ δὴ, καὶ τὰ ἱερὰ τεμένη ἐπώνυμα τοῖς Ἁγίοις καλεῖσθαι ἤρξατο. Οὕτως οὖν καὶ Βασίλειος ὁ Μέγας ἐν τῷ εἰς τȣ̀ς Τεσσαράκοντα Μάρτυρας αὐτȣ̃ Λόγῳ, τῷ κατὰ τὴν αὐτῶν μνήμην ἐκφωνηθέντι, καὶ τὸν Ναὸν προσέθηκεν, εἰς τιμὴν αὐτοῖς ἀνῳκοδομῆσθαι·

§. 7.

Ὅτι δὲ ἄχρις ἀπὸ τῶν πρώτων Ἐκκλησιαςικῶν Αἰώνων ἡ παράδοσις ἐκράτησεν αὕτη, ἐκ τῶν ἐφεξῆς ἔτι καὶ μᾶλλον ἔμπεδον καθίςαται χρόνων, καθ᾽ οὓς, οἱ εἰς Χριςὸν πιςεύοντες τȣ̀ τῶν

ἐπη

ἐπηρειῶν φόβε ἀπαλλαγέντες, ἀνέπνευσαν. Κωνςαντῖνος καὶ γὰρ ὁ Μέγας, ἔπερ ἀνάσσοντος τῆς ποθεμένης ἀπήλαυσεν ἡ Ἐκκλησία εἰρήνης, ταῖς τῶν Ἁγίων Ἀποςόλων διατάξεσι παρακολεθῶν, τὸ περὶ τῆς οἰκοδομήσεως τῶν Ναῶν ἐξέδοτο Δόγμα· ὅτε, τῆς εὐκαιρίας οἱ χριςιανοὶ δραξάμενοι, ἐν εὐφροσιύῃ ψυχῆς ἀῤῥήτῳ, ἐχ ὅπως δημοσίᾳ Ναὲς ἱερὲς ἐπεχείρησαν ἀνεγείρειν, ἀλλὰ κ, τῶν τοῖς ψευδοθέοις ἀνακειμένων πολλὲς, τῷ ἀληθινῷ Θεῷ μεταςήσαντες καθωσίωσαν. (Ἐυσέβ: εἰς τὸν Βίον Κωνςαντ: Βιβλ: Γ'. Κεφαλ: ΝΔ. Καὶ Βιβλ: Ζ'. Κεφ: ΙΘ'.)

§. 8

Κωνςαντῖνος μὲν ἒν ὁ θεσπέσιος, αὐτὸς, καὶ Ναὸν Μέγαν ἐπὶ τε Γολγοθᾶ ἐκέλευσεν ἐγερθῆναι· κ, προσέτι δὴ, κ, Σκlωlὼ ἡγήσατο ἐπάναγκες εἰς χρῆσιν ἑαυτῷ κατασκευαθῆναι, κατὰ τύπον τε εἰρημένε Ναε, ἤπερ ἂν ἐπὶ τῶν ἐκςρατειῶν ἀποχρῶτο. (Ἐυσέβ. εἰς τὸν Βίον Κωνς: Βιβλ: Δ'. ΚεΦαλ: Νς'.) Καὶ Ἑλένη δὲ ἡ Ἁγία, Ναὲς ἐν Βηθλεέμ ἐδείματο, εἰς ἀνάμνησιν τῶν Γενεθλίων τῆς Μακαρίας Παρθένε, καὶ τε Κυρίε ἡμῶν

ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς τούτου εἰς οὐρανὸν Ἀναλήψεως. (Σωζόμ: Βιβλ: Α΄. Κεφ: Η΄. καὶ Βιβλ: Η΄. Κεφαλ: Α΄.) Τῶν δ' εἰς Χριστὸν πιστευόντων ἤδη πληθυνομένων, ὡς τὰ προδομηθέντα ἱερὰ τεμένη μηκέτι οἷατε εἶναι τοὺς ἐπαθροιζομένους χωρεῖν, πλείονα προσεπῳκοδομοῦντο πολλαχοῦ καινὰ ἄλλα. Ὅθεν καὶ τῷ ἰδίῳ πατρὶ, ὁ ἐκ Ναζιανζοῦ Γρηγόριος, εἰς ἔπαινον πρὸς τοῖς ἄλλοις ἀνῆπτε, καὶ τὸ Ναὸν ἐπιδείμασθαι πάγκαλον, δαπάναις ἰδίαις. (Ἐν τῷ ΙΘ΄. τῶν αὐτοῦ Λόγων, τῷ Ἐπιταφίῳ εἰς τὸν ἑαυτοῦ πατέρα.)

§. 9.

Ἐξ ὧν ἤδη δείκνυται ἅλις, ὅτι τὸ Ναοὺς Ἱεροὺς ἀνοικοδομεῖσθαι, ἐξ αὐτῶν προοιμίων τῆς χριστιανικῆς τεθέσπιστο πίστεως: καὶ ὅτι ἐν αὐτοῖς οἱ πιστοὶ συναγείρεσθαι ὤφειλον. Διὸ καὶ ἡ Ἁγία Σύνοδος ἡ ἐν Γάγγρᾳ, τῷ ἀναθέματι καθυπέβαλεν ἅπαντας, τοὺς τοῦ μὲν Θείου οἴκου ὀλιγωροῦντας, ἐν δὲ οἰκήμασι συνερχομένους ἰδιαιτέροις, ὡς, καὶ τοῦ Ἱερέως ἀπόντος, τὰς Ἐκκλησιαστικὰς Ἱεροπραξίας ἐπιτελέσοντας. (Καν. Ε. καὶ ς΄.)

§. 10.

§. 10.

Τῶνδε δὴ τῶν παραδόσεων καὶ διατάξεων, μενȣσῶν ἀεὶ ἀπαραποιήτων, Ἱεροὶ Ναοὶ ἀνῳκοδομȣ̃ντο, ὥςε καὶ τὴν ἀνέκαθεν τῆς Ἐκκλησίας βȣλὴν τε καὶ ψῆφον τηρεῖσθαι, καὶ τὸ κόσμιόν τε καὶ μεγαλοπρεπὲς, ᾗ προσῆκεν, ἐν αὐτοῖς διασώζεσθαι.

§. 11.

Τȣ̃ τοίνυν ἀριθμȣ̃ τῶν Ναῶν, τοῖς τὴν εἰς Χρισὸν πίςιν ἀσπαζομένοις συμπληθυνομένȣ τε καὶ συναύξοντος, τινὲς ἐξ αὐτῶν Ναοὶ πρωτεύοντες ἐπεκλήθησαν· εἴτε διὰ τὴν ὑπεροχὴν τῆς μεγαλȣργίας, εἴτ᾽ οὖν καὶ ὡς, τῶν ἄλλων ἐκεῖναι Ἐκκλησιῶν προεδρεύȣσαι· Καθάπερ ἡ ἐν Ἱεροσολύμοις. Διέπρεπον δὲ διαφερόντως αἱ ἐν Πόλεσιν Ἐκκλησίαι, ἐν αἷς οἱ τῶν Ἐπισκόπων θρόνοι καθίδρυντο: ὡς ἂν τοῖς πισοῖς δηλονότι Ναὸς ὡρισμένος τις εἴη, ἐν ᾧ ἀγειρόμενοι τῶν Θείων ἐπακροῶνται Διδαγμάτων, ἅπερ ἂν αὐτοῖς οἱ ποιμαίνειν λαχόντες, ἐν ἑορτασίμοις, καὶ ἄλλαις ἡμέραις, ἀνακηρύττοιεν. (Σωζόμ: ἐν Βιβλ: Β΄. Κεφαλ: Κϛ.

§. 12.

Ἀρχαῖον δὲ τὸ ἔθος, τό τε Ναὺς οἰκοδομεῖν, καὶ τὰς εὐχὰς καὶ δεήσεις τῷ ἐν αὐτοῖς λατρευομένῳ Θεῷ προσάγειν, πρὸς Ἀνατολὰς τετραμμένυς. Ὥσπερ γὰρ ὁ ἥλιος ἐξ Ἀνατολῶν ἀνίσχων τὴν γῆν φωτίζει, οὕτως ἡ χάρις, καὶ πᾶν ἀγαθὸν, παρὰ τῦ Θεῦ πρόεισι· κ̀ ἡ μὲν Ἀνάτολὴ, οἷα τῦ φωτὸς εἰκὼν, ἡ δὲ Δύσις τῦ σκότυς, ἀεὶ λελόγισαι. Ἔνθέντοι καὶ οἱ τῦ Μυςικῦ Βαπτίσματος ἀξιύμενοι, πρὸς μὲν ἀνίχοντα βλέποντες ἥλιον, τῷ Χριςῷ σιωτάσσεθαι ἐπαγγέλλονται· πρὸς δὲ δυόμενον, τῷ διαβόλῳ ἀποτάσσεθαι.

(Κύριλλος Ἱεροσολ: ἐν Ὁμ: Α'. Τερτυλ: ἐν τῷ Ἀπολογητ: Κεφ: Α'. Βασίλειος περὶ τῦ Ἁγίυ Πνεύματος Κεφ: ΙΖ'· Γρηγ: ὁ Νύσσ: Ὁμιλ. Ε'. Περὶ τῆς Κυριακῆς Προσευχῆς· Διαταγ: τῶν Ἀπος: Βιβλ: Β'. Κεφ: ΝΖ'. καὶ Ἀθανάσ: ἐν Ἐρωτ: ΚΖ'.)

Πρῶτον μὲν οὖν ἡ τῦ Ναῦ Οἰκοδομὴ ἔξω προμήκης, πρὸς Ἀνατολὴν τετραμμένη, ὁμοία νηΐ. Ἑκατέρωθεν δὲ τὰ Παςοφόρια καὶ αὐτὰ κατὰ Ἀνατολάς.

ΠΕΡΙ'

## ΠΕΡῚ ΤΩ͂Ν ἘΝ ΤΑΙ͂Σ ΠΑΛΑΙΑΙ͂Σ ἘΚΚΛΗΣΙΑΙΣ ΜΕΡΩ͂Ν ΤΟΥ͂ ΝΑΟΥ͂· ΚΑῚ ΤΟΥΤΩΝ, ΚΑΤᾺ ΣΤΟΙΧΕΙ͂ΟΝ ἘΠῚ ΤΟΥ͂ ΠΙΝΑΚΟΣ ἘΠΙΚΑΤΑΓΕΓΡΑΜΜΕΝΩΝ, ἘΞΗΓΗΣΙΣ.

§. 13.

Α. Πρὸ τῆς Ἐκκλησίας διεπλατιώετότις ἄλως εὐρεία, παρὰ μὲν Εὐσεβίου Αἴθριον ἐπικαλουμένη: Λατινιστὶ δὲ, Atrium καὶ Impluvium: (Αὐλὴ, ἢ Μέσαυλον.) Ἡ δὲ Αὐλὴ στοαῖς τε περιεστιχίζετο καὶ περιστυλίοις. Ἵσταντο δ᾽ ἐν αὐτῇ οἱ ἐν μετανοίᾳ, τὰς τῶν εἰς τὸν Ναὸν εἰσιόντων Ἱκεσίας ὑπὲρ ἑαυτῶν ἐκλιπαροῦντες· τοῦτο δ᾽ ὑπεννοῶν ἐστὶ Τερτυλλιανὸς τὸ Αἴθριον, ἐν οἷς γράφει: (ἐν τῷ περὶ τῆς Αἰδημοσιώης, Κεφαλ: Δ΄.) ὅτι, τὰς λοιπὰς τῶν ἀκολασιῶν Ἐριννῦς, οὐχ ὅπως τοῦ σταθμοῦ, ἀλλὰ καὶ πάσης ἔξω τῆς Ἐκκλησίας ἐλαύνομεν· οὐ γὰρ πλημμελήματα ταῦτα ἐστὶ· τέρατα δὲ. Ὁ δὲ Εὐσέβιος (Βιβλ: Ι΄. Κεφ: Δ.) καθιστορεῖ: Χωρίον ἐν μέσῳ ἀνεωγμένον καὶ ἀναπεπταμένον ὑπὸ Κωνσταντίνου τοῦ Μεγάλου παραλελεῖφθαι. Ἐξ οὗ δῆλον, ὅτι τὸ Αἴθριον, διάστημα ὑπῆρχεν ἀστεγές τε καὶ ὕπαιθρον.

§. 14.

Β. Μέρος ἐςὶ τῆς Ἐκκλησίας τὸ πρῶτον εἰσερχομένοις, ὅπερ ἐλέγετο Νάρθηξ· ἐν ᾧ, ἔνθεν μὲν ἡ τῶν Κατηχουμένων, ἔνθεν δ' ἡ τῶν Ἐνεργουμένων ἀφώρισο ςάσις. Αὐτόθι δέπου παρεςήκεσαν καὶ τῶν πενήτων οἱ προσαιτοῦντες. (Βασίλ: Καν: ΝΖ΄.)

§. 15.

Γ. Ὁ τόπος τῶν ἐν μετανοίᾳ τριτοταγῶν· τουτέςι τῶν ὑποπιπτόντων· Οἷς περ, οἷα καὶ τοῖς Κατηχουμένοις ὁ Ἐπίσκοπος ἐν τῷ εἰσιέναι, χεῖρας ἐπιτιθεὶς, τῶν ἡμαρτημένων παρεῖχε τὴν ἄφεσιν· Τὸν γὰρ μετανοήσαντα (φησὶ) καὶ προσκλαύσαντα εἰσδέχου, πάσης τῆς Ἐκκλησίας ὑπὲρ αὐτοῦ δεομένης· καὶ Χειροθετήσας αὐτὸν, ἔα λοιπὸν εἶναι ἐν τῷ ποιμνίῳ. (Διαταγ, τῶν Ἀπος: Β. Βιβλ: Κεφ: ΙΗ΄. Καὶ Σωζόμ: Βιβλ: ς΄. Κεφαλ: Ις΄.)

§. 16.

Δ΄. Ἐνταυθὶ δὲ ὁ τόπος ὥρισο ὁ τῆς Κολυμβήθρας· τουτέςι τὸ Βαπτιςήριον· Περὶ οὗ φησὶν ὁ Θεῖος Ἀμβρόσιος Μαρκελλίνῳ γράφων: ὅτι τὰ τῆς Πίςεως Δόγματα ἐκτεθεικὼς ἦν ἐν τῷ Βαπτιςηρίῳ. (Ἐν Ἐπις: ΛΓ΄. Καὶ ἐν τοῖς περὶ τῶν Μυςηρ: Βιβλ: Β΄. Κεφαλ: Ε΄.)

§. 17.

Ε. Τὸ μέρος τὸ δεύτερον τῶν ἐν τῇ Ἐκκλησίᾳ, τὸ ἐφεξῆς ὂν μετὰ τὸν Νάρθηκα, ἔνθα τῶν πιςῶν οἱ ὄντες ἐν κοινωνίᾳ ἐτάσσοντο· τὸ δὲ δὴ μέρος τόδε ἰδίως ὠνομάζετο ὁ Ναός: ἤ γȣ̃ν, ἡ Ναῦς ἐλέγετο ἡ τῆς Ἐκκλησίας. Ἐπέκεινα δὲ, οἱ Πρεσβύτεροι ἵςαντο οἱ τῆς Ἐκκλησίας, οἱ τὸν λαὸν ἐκδιδάσκοντες, ἀνὰ μέρος ἕκαςοι δηλονότι· ȣ̓ γὰρ ἅμα τε καὶ ἀθρόοι. Ἔσχατος δὲ πάντων ὁ Ἐπίσκοπος, τῷ τῆς Νηὸς προσεοικὼς Κυβερνήτῃ· ἤτοι τῷ Ναυάρχῳ. (Διαταγ: τῶν Ἀποσ: ἐν Β΄. Βιβλ: Κεφαλ: δε ΝΖ΄.)

§. 18.

Ζ. Ὁ τόπος, ὁ ταῖς γυναιξὶν ἰδίᾳ, χωρὶς τῶν ἄλλων, τεταγμένος. Καθεζέσθωσαν δ᾽ αἱ γυναῖκες ἐν μέρει, σιγῇ προσέχȣσαι· Οἱ μὲν πυλωροὶ εἰς τὰς εἰσόδȣς τῶν Ἀνδρῶν, φυλάσσοντες αὐτάς· αἱ δὲ Διάκονοι, εἰς τὰς τῶν γυναικῶν. (Διαταγ: Ἀποσ: Βιβλ: Β΄. Κεφ: ΝΖ΄.) Ἐχρῆν μὲν ȣ̃ν ἔχειν τὸ τεῖχος ἔνδον, (ἤγȣν ἐν τῇ καρδίᾳ) τὸ διεῖργον ὑμᾶς τῶν γυναικῶν· ἐπειδὴ δὲ ȣ̓ βȣ́λεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ Πατέρες, κἂν ταῖς σανίσιν ὑμᾶς ταύταις διατειχίσαι. (Χρυσός: εἰς τὸν Ματθ: Ὁμιλ: ΟΔ΄.)

Καὶ αἱ Βασιλίδες δὲ τὸ κατ᾽ ἀρχὰς ἦσαν ἑςῶσαι μέσον τῶν γυναικῶν. Καθιςορεῖ δὲ κὴ Σωκράτης (Βιβλ: Α. Κεφ: ΙΖ.) ὅτι καὶ ἡ Ἁγία Ἑλένη, ἡ τῦ Μεγάλυ Κωνςαντίνυ Μήτηρ, τῇ αὐτῇ τῆς Ἐκκλησιαςικῆς ἀγωγῆς καθυπέκυσα εὐλαβείᾳ, ἐν τόπῳ τῷ ταῖς γυναιξὶν ἀποτεταγμένῳ, συνάμα ταῖς λοιπαῖς ἱςαμένη προσηύχετο.

§. 19.

Η. Ὁ Ἄμβων, (ἤτοι ὁ Ὀκρίβας, ἢ τὸ ἐν τῷ Ἀκροατηρίῳ Ἀνάβαθρον·) ὐ πόῤῥω τῶν πυλῶν ἔκειτο τῶν τῆς Ἐκκλησίας. Ἡ δὲ τύτυ χρῆσις, κατὰ τὸν Θεῖον Κυπριανὸν, τὸ δίκην τραπέζης αὐτὸν προκεῖσθαι τῶν Ἀναγνώσεων· Ἐπ᾽ αὐτῦ γὰρ τάτε Εὐαγγέλια, καὶ αἱ Ἐπιςολαὶ τῶν Ἀποςόλων, τῷ λαῷ ἀνεπτύσσοντο· καὶ δὴ, καὶ αἱ πρὸς τὸ πλῆθος τῶν Ἀκροωμένων ὁμιλίαι ὑπὸ τῦ Ἐπισκόπυ ἀνεκηρύττοντο. Διέξεισι δὲ Σωκράτης, ὡς ἐπὶ τῦ Ὀκρίβαντος ὁ Χρυσοῤῥήμων ἀναβαίνειν εἰώθει ἐκκλησιάζων, ὡς ἂν ὑπὸ πάντων ἔχοι ῥᾴδιον ἐπακύεσθαι. (Ὅρα τῆς ἐν Λαοδικ: Συνόδυ Καν: Ις΄. Καὶ Κυπρ: Ἐπις : ΛΓ. Καὶ Σωκρ: Βιβλ : Η΄. Κεφ : Ε΄.)

§. 20.

Θ. Τὸ τρίτον μέρος τῶν τῆς Ἐκκλησίας, προσηγόρευται Βῆμα· ἐν ῷ ἡ στάσις τῷ Βασιλεῖ, καὶ τοῖς Πρεσβυτέροις, καὶ τῷ Κλήρῳ. (Σωζόμ: Βιβλ: Ζ΄. Κεφαλ: ΝΕ.)

§. 21.

Ι. Ὁ δὲ τόπος ὁ τοῦ Θυσιαστηρίου, (ἤτοι τὰ Ἅγια τῶν Ἁγίων·) περιπέφρακτο Κιγκλίσιν· ἀνθ᾽ ὧν καθ᾽ ἡμᾶς αἱ ἱεραὶ νυῦ εἰκόνες ἐπιστηλοῦνται. Κεχώριστο δ᾽ οὕτως, ὥστε τὴν ἀναμὶξ ἐν τῷ Θυσιαστηρίῳ εἴσέλευσιν τοῖς πολλοῖς ἄβατον καθεστᾶναι. (Ἐυσέβ: Βιβλ: Ι΄. Κεφ: Δ΄.) Ἀυτοῦ δὲ καὶ ὁ τοῦ Ἐπισκόπου καθίδρυτο Θρόνος, καὶ οἱ Θῶκοι τῶν Πρεσβυτέρων· Ὅθεν ὁ θεσπέσιος Ἀθανάσιος (ἐν Ἐπισ: τῇ πρὸς τοὺς Μονάζοντας·) περὶ τῆς τῶν Ἀρειανῶν μανίας γράφων, τότε Συμψέλλια, φησὶν, ἁρπάσαντες, καὶ τὸν Θρόνον, καὶ τὴν τράπεζαν, (ξυλίνη γὰρ ἦν) καὶ τὰ Βῆλα, καὶ τ᾽ ἄλλα ὅσα ἐδυνήθησαν ἄραντες συνέκαυσαν. Ἐξ οὗ δῆλα γίγνεται, καὶ ἅττα τῷ Θυσιαστηρίῳ πάλαι ὑπῆρχεν ἀνήκοντα. (Ὅρα τῆς ἐν Λαοδικ: Συνόδου Καν: ΜΔ. Καὶ τῆς ἐν Τρούλλῳ, Καν: ΞΘ΄. Καὶ Γρηγορ: Νυσσ. ἐν Ὁμιλ: τῇ εἰς τὸ Βάπτισμα.)

§. 22.

§. 22.

Κ. Κατὰ τὸ μέσον δὲ τῶν Κιγκλίδων ἦν ἡ εἰς τὸ Ἁγιαστήριον εἴσοδος, ἧς τὸ Βῆλον προσεπετάννυτο. Ἐπειδὰν δὲ, Βασιλέως τοῦ Μεγάλου ἐπιτάξαντος, ὑψηλοτέρας ἐδέησε, κατὰ τὸ συμβὰν, τὰς Κιγκλίδας κατασκευάζειν, καὶ ταῖς ἱεραῖς εἰκόσιν ἀναγκαῖον ἔδοξεν αὐτὰς ἐπικοσμεῖν: τότε δὴ, καὶ ἡ ἐντὸς τοῦ Θυσιαστηρίου πάροδος θυρώμασιν ἀπεφράγνυτο, ἃ Πύλαι προσείρηνται Βασιλικαὶ, ἅτε δὴ τὴν εἰς τὸ Βῆμα τοῦ ἐπουρανίου Βασιλέως εἰσέλευσιν ἀνοιγνῦσαι· ὥς που καὶ ὁ Χρυσορρήμων ἀριδηλότατα ἐν τοῖς δε καθυπογράφει τοῖς ῥήμασιν: Ὅταν ἴδῃς ἀνελκόμενα τὰ ἀμφίθυρα, τότε νόμισον διαστέλλεσθαι τὸν οὐρανὸν ἄνωθεν, καὶ κατιέναι τοὺς Ἀγγέλους. (Χρυσόστομος ἐν τῇ Γ. Ὁμιλ: τῶν εἰς τὴν πρὸς Ἐφεσ. Ἐπιστ:)

§. 23.

Πρὸ τῆς ἐν τῷ Ἁγίῳ Θυσιαστηρίῳ Τραπέζης ἔσω, τὴν μέσην ἐπέχει χώραν ὁ Ἱερουργῶν, τὴν ἀναίμακτον Θυσίαν προσάγων. Ὁ δὲ Εὐσέβιος, (Βιβλ; Ι. Κεφ: Δ.) τὸν Ναὸν περιγράφων, τὸν ὑπὸ τοῦ Μεγ: Κωνσταντίνου τῷ Ἀποστόλῳ Παύλῳ ανα-

ἀνατεθέντα, ἐνμέσῳ τετάχθαι καθιςορεῖ τὰ Ἅγια τῶν Ἁγίων· τουτέςι τὴν Ἱερὰν Τράπεζαν. Ὅρα δὲ καὶ τὸν θεσπέσιον Διονύσιον, ἐν τοῖς περὶ τῆς Ἐκκλησ: Ἱεραρχίας. (Κεφ: Β'. Τμήμ: Δ'.)

§. 24.

Μ. Ν. Ξ. Ἀπὸ τῆς Ἱερᾶς ἐφεξῆς Τραπέζης, ὁ τοῦ Ἐπισκόπου ἵδρυτο θρόνος· τούτου δ' ἐγγὺς παρ' ἑκάτερα ἔκειντο τὰ ἕδρανα τὰ τῶν Πρεσβυτέρων. (Διαταγ: τῶν Ἀποσ: Βιβλ: Β'. Κεφαλ: ΝΖ'. Καὶ Ἀθανάσ: Ἀπολογ: Β'. Καὶ Θεοδώρητ: ἐν Βιβλ: Ζ'. Κεφ: Γ.)

§. 25.

Ο. Ἐν δεξιᾷ προσεγειτνία τῇ Τραπέζῃ τὸ καλούμενον Διακονικὸν· Ὑπῆρχε δὲ ταμεῖον τοῦτο, ἐν ᾧ τὰ ἱερὰ ἀπετίθετο τηρούμενα ἄμφια, καὶ τὰ σκέυη, καὶ τὰ Βιβλία, καὶ τὰ λοιπὰ τὰ ἐπὶ τῶν Ἱεροπραξιῶν ἐν χρήσει γινόμενα. (Ὅρα Κυπρια: Ἐπις: ΝΕ'. Καὶ τῆς ἐν Λαοδικ: Συνόδ: Καν: ΚΕ'. Καὶ Παυλίν: πρὸς Σευῆρον Ἐπις: ΙΒ'.)

§. 26.

Π. Ἐξ εὐωνύμων δ' ἀπέκειτο ἡ Πρόθεσις, ἐφ' ἧς προσκομίζετο τὰ ὑπὸ τῶν πιςῶν προσφερόμενα. (Συνόδ· Δ. τῶν ἐν Καθαργ: Καν: ηΓ.) Ἐπ' αὐτῆς δὲ προήυτρε-

ἠυτρεπίζετο, τάτε ἱερὰ σκεύη, κ̀ ἡ τῶν Εὐαγγελίων Βίβλος, καὶ τὰ τοιαῦτα, τὰ εἰς τὴν ἱεροπραξίαν ἀνήκοντα. (Σιώδ: τῆς ἐν Λαοδικ: Καν: ΚΑ΄. καὶ τὸ Ἀλεξανδρ: Χρονικὸν ἐν Σελ: 292.) Τὸ δὲ δὴ τὰ ἱερὰ τῶν σκευῶν ἐπὶ τῆς Ἁγίας Τραπέζης ἐντεῦθεν μετακομίζειν, τοῖς Διακόνοις ἐπετρέπετο μόνοις· τὸ γὰρ τῶν Ὑποδιακόνων ὑπόργημα ἑτεροῖον ἦν. (Διαταγ: τῶν Ἀποσ: Βιβλ: Β΄. Κεφ: ΝΖ΄. Καὶ Ζωναρ: ἐν Καν: ΚΑ΄. τῆς ἐν Λαοδικ: Σιώδȣ.)

§. 27.

Ρ. Ἐκ δὲ τῶν μυχῶν ἑκατέρȣ, τȣ̃ τε Διακονικοῦ φημὶ, καὶ τȣ̃ τῆς Προθέσεως, πῦλαι παρεῖχον τὴν πάροδον, τήν τε ἐπὶ τὸ Θυσιαστήριον, καὶ τὴν ἐπὶ τῆς Ἐκκλησίας.

§. 28.

Παρὰ ταῦτα τὰ τῷ Ναῷ προσήκοντα μέρη, ὁ Εὐσέβιος (Βιβλ: Ι. Κεφαλ: Δ΄.) κ̀ πηγῶν κ̀ Λȣτήρων ἐμνήσθη, οἷς περ, οἷον τισὶν εὐαγῶν προκαθαρισμῶν συμβόλοις, κελεύσει τȣ̃ Μεγάλȣ Κωνσταντίνȣ, τῶν τινες Ἐκκλησιῶν προσσωήπτοντο· ἵν᾽ οἱ πιστοὶ, τὸν Ναὸν εἰσιέναι μέλλοντες, πρόσωπόντε κ̀ χεῖρας προαπονίζοιντο. Καὶ ταύτας δὲ τὰς πηγὰς ὁ Τερτυλλιανὸς

νὸς (ἐν Κεφαλ: ΙΑ΄. περὶ τῆς Προσευχῆς) ὑπενέφαινε γράφων: τίνα δὴ λόγον ἔχει, τὸ χερσὶ μὲν ἐκ ἀνίπτοις, πνεύματι δὲ ῥυπῶντι προσευχὴν μετιέναι; Ἀλλὰ καὶ ὁ Χρυσορρήμων (ἐν Ὁμιλ: ΝΑ΄ τῶν εἰς τὸν Ματθ:) ἐυ κωλύω (ἔφασκεν) ὥστε νίπτειν χεῖρας, ἐδὲ σόμα, ἀλλ' ἐχ ὕδατι μόνον.

§. 29.

Δεῖ δὴ τὲς πιςὲς μετὰ ἐυλαβείας πλείστης ὅσης, καὶ μετὰ φόβε, τὲς ἱερὲς Ναὲς εἰσιέναι, ὡς εἰς τὰ Ἀνάκτορα εἰσερχομένες τε Βασιλέυοντος ἐπὶ πάντων Θεε· οἷα δὴ καὶ αἱ τῶν θεσπεσίων Πατέρων πρὸς τὸν λαὸν Ὁμιλίαι καθιςῶσι κατάδηλον. Εἰς μὲν τὰ Βασίλεια (φησὶν ὁ Χρυσόςομος, ἐν Ὁμιλ: ΚΕ΄. εἰς τὴν πρὸς Ἑβρ: Ἐπις:) εἰσιὼν, καὶ χήματι. καὶ βλέμματι, καὶ βαδίσματι, καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δὲ, ἔνθα τὰ ὄντως ἐςὶ Βασίλεια, καὶ τοιαῦτα οἷα τὰ ἐράνια, καὶ γελᾷς; Καὶ ἐν Ὁμιλ: δὲ τῇ Γ. τῶν εἰς τὴν Β΄. πρὸς Θεσσαλον:) Εἰσερχώμεθα τοίνυν μετὰ τῆς προσηκέσης τιμῆς εἰς τὰς Ἐκκλησίας, καὶ μετὰ φόβε ἐπακέωμεν τῶν λεγομένων. Καὶ πολλαχε τὰ παραπλήσια τέτοις.

 §. 30.

§. 30.

Τελευταῖον ἐντὸς τοῦ τῶν Ἐκκλησιῶν Περιβόλου, ὁπόσαι δὴ μάλιστα πρωτεύουσαι, καὶ Μεγάλαι, καὶ Καθεδρικαὶ ἐκαλοῦντο, παρὰ τὰς πρὸς χρείαν τοῖς Κληρικοῖς ἐποικήσεις, ἔτι καὶ Σχολαστήρια ἅττα, καὶ Βιβλιοθήκας ἐπιδεδομῆσθαι, ἐκ τῆς Ἱστορίας τοῦ Εὐσεβίου καταμανθάνομεν. (Ἐν Βιβλ: ς'. Κεφαλ: Κ: Καὶ ἐν τοῖς εἰς τὸν Βίον τοῦ Μ. Κωνσταντίνου, Κεφ: ΝΒ'.)

## ΠΕΡΙ' ΚΑΙΡΟΥ͂ ΤΟΥ͂ ΤΗ͂Σ ΠΡΟΣΕΥΧΗΣ.

§. 31.

Ὅτι μὲν ἡ προσευχὴ, τουτέστιν αἱ πρὸς Θεὸν ἱκεσίαι τε καὶ δεήσεις, διανοίας ἐστίτις καὶ ψυχῆς πρὸς τὸν ὕψιστον ἔπαρσις, ἅπαντες οἱ παλαιοὶ Πατέρες κοινῇ ὡρίσαντο. Πάντες γὰρ ἄνθρωποι, καὶ τὸ ζῆν αὐτὸ, καὶ ὅσα ἀγαθὰ ἐπίτε τῆς λήξεως τῆς παρούσης, κἀπὶ τῆς ἐφεξῆς αἰωνίου προσδοκωμένης, πρὸς Θεὸν ἀνάγειν ὀφείλουσι: καὶ οὐδ' ἀκμὴν ἀσφαλῶς αὐτοῖς ἐστὶν ἔχον, τὸ τοῦ τοιούτου καθήκοντος ἀπολείπεσθαι·

§. 32.

Ἐπεὶ δὲ, κατὰ τόπον τε δὴ καὶ χρόνον, ἄνθρωποι, τῷ λόγῳ τῆς ἰδίας αὐτῶν καταστάσεως ἕκαστοι, παντοδαποῖς ἐν περισπασμοῖς πιεζόμενοι καὶ μερίμναις, οὐχ οἷοί τε εἰσὶ, μετὰ τῆς οὕτως ἐποφειλομένης σπουδῆς τε καὶ προθυμίας πρὸς Θεὸν, τὸν παντὸς ἀγαθοῦ χορηγόν καὶ δοτῆρα ἐξαίρεσθαι, διάτοι τοῦτο ἐπὶ τῇ ἰοῦ τοιοῦδε ὀφλήματος ἀποτίσει, ἔστιν ἃς ὥρας τοῦ νυχθημέρου ἀφορισθείσας ἔκπαλαι ἴσμεν, ἐξ αὐτῶν ἔτι τῶν Μωσαϊκῶν διδαχθέντες Βιβλίων, ἐν οἷς, τὰς μὲν τῶν θυσιῶν μανθάνομεν πρὸς ἑσπέραν, τὰς δὲ ἐπινυκτίους, τὰς δέ κατ' ὄρθρον προσάγεσθαι. (Ἐξόδ: ΚΘ' 39. Λευιτ: ΚΔ'. 4.)

§. 33.

Καιρὸς μὲν ἅπας εἰς προσευχήν τε καὶ ψαλμῳδίαν ἐστὶν ἐπιτήδειος· ὥστε καὶ χερσίν ὁτιοῦν ἐργαζομένοις, ῥᾴδιον ἦ αἶν καὶ περὶ τὸ Θεῖον τοῦτο ἔργον ἅμα σχολάζειν τῇ γλώσσῃ, ἀπὸ παντοίων μάλιστα διαλογισμῶν τε καὶ ἐνθυμήσεων τοιῷδε λόγῳ τὸν νοῦν ἀνακαλουμένοις. Τὶς τοίνυν τῶν ἐν καιροῖς τεταγμένοις ὡρισ-

ὡρισμένων εὐχῶν τελεῖσθαι, κατολιγωρεῖν θέμις ἑαυτῷ εἶναι ἡγήσεται, ὁπότε μάλιστα δι᾽ αὐτῶν ἑκάστης ὑπόκειται, ἤτοι τῶν ὑπὸ Θεοῦ γινομένων ἅπασιν εὐεργεσιῶν τινὸς διαμνημονεύειν, ἢ γοῦν καθ᾽ ἑαυτὸν ὑπομιμνήσκεσθαι τῶν ἀνθρώπων ἕκαστον, ὑπὲρ ὧν διαφερόντως ἔλαχε πρὸς αὐτοῦ δωρημάτων, χάριτας τὰς ὀφειλομένας ὁμολογεῖν;

Διὰ μὲν οὖν τῶν ἐπορθρίων εὐχῶν, τὰς πρώτας ἑαυτῶν τῆς ψυχῆς καὶ διανοίας κινήσεις τῷ Θεῷ ἀφοσιωτέον. Τὰς δὲ κατὰ τὴν τρίτην ὥραν τελοῦμεν, ἵνα τῶν τοῖς Ἀποστόλοις καταπεμφθέντων ἄνωθεν χαρισμάτων ἐν αὐτῇ τὴν μνήμην ἀνανεοῦντες κατ᾽ ἐκεῖνο τοῦ χρόνου, παραπλησίᾳ καὶ ἡμεῖς τῇ διαθέσει καὶ εὐλαβείᾳ Θεὸν ἐξυμνοῦντες, τῆς αὐτῆς τοῦ παναγίου Πνεύματος αὐτοῦ χάριτος τυχεῖν καταξιωθῶμεν. Καὶ ἐν ὥρᾳ δὲ τῇ ἕκτῃ, Ἀνδρῶν Ἁγίων παράδειγμα ἑαυτοὺς ἡμῖν παραστησαμένων, ἐπάναγκες ἡγούμεθα προσεύχεσθαι, ἐφ᾽ ᾧ τῆς παρὰ τῶν πολεμίων ἀπαλλάττεσθαι ἐπιθέσεώς τε καὶ ἐπηρείας. Διὸ καὶ τὸν πεντηκοστὸν ψαλμὸν ἐν αὐτῇ εἰώθαμεν ἀναγινώσκειν

εὐκαί-

ἐυκαίρως. (Ὅρα ἐν τοῖς Βασιλέιε Καν- Ἐρωτήμ: ΛΖ΄.) Τὸ δὲ καὶ κατὰ τὴν ὥραν ἔυχεσθαι τὴν ἐννάτην, παρὰ των Ἀποςόλων (Πράξ: Κεφαλ: Γ. 1.) παρελάβομεν. Τῆς δὲ ἡμέρας τέως ὑποκλινάσης, τῷ Θεῷ χάριτας ὁμολογητέον, ἀνθ᾿ ὧν ἡμῖν ἐπεδαψιλεύσατο ἀγαθῶν ἁπάντων. Ουμὴν δὲ ἀλλὰ, καὶ ἐφ᾿ οἷς κατ᾿ αὐτὴν ἤδη τὴν παρελθοῦσαν ἡμέραν ἔφθασεν ἐξημαρτηκὼς, τυχεῖν συγγνώμης δεηθῆναι τὶς, παραιτήσεται; Τὸ δὲ δὴ καὶ τῆς νυκτὸς μεσαζούσης, εἰς προσευχὴν ἀπονέμειν τι μέρος, ὑπὸ Παύλου καὶ Σίλα, ἐν ταῖς τῶν Ἀποςόλων Πράξεσιν ὁμοίως (Κεφαλ: Ις΄. 25) ἡμῖν παραδέδοται. Τοῦθ᾿ ὅπερ ἡμῖν καὶ ὁ Θεῖος ὑπηγόρευσε Ψαλμογράφος (Ψαλμ: ΡΙΗ.) τύπον ἑαυτὸν παρεχὼν: Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαι Σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης 28. Ἐπὶ δὲ πᾶσιν, ὅτι καὶ πρὸ Ἀνατολῆς ἡλίου ἐξεγειρομένους τοῦ ὕπνου, ἐξομολογήσεις τε καὶ Ἱκεσίας δέον τῷ Κυρίῳ προσάγειν, ὁ αὐτὸς ἑαυτὸν ἡμῖν Δαδ ὑπογραμμὸν ὑπέθετο, φήσας (αὐτόθι) Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾷν τὰ λόγιά σου. Τῶν οὖν δὴ οὕ-

τως

τως εἰς προσευχὴν διορισθέντων καιρῶν, μηδένα αὔτως διεκπίπτοντα ἄνευ εὐχῆς παροπτέον. Διέξεισι δὲ καὶ ὁ Θεῖος Ἀμβρόσιος (ἐν τῷ περὶ Παρθενίας Βιβλ: Α΄.) Ἐν ᾠδαῖς καὶ ὕμνοις θείοις διαγενέσθαι ὁλοχερῆ τὴν νύκτα, ὅτε τὰ Ἱερὰ εὕρηται λείψανα Γερβασίου τε καὶ Πρωτασίου. Περὶ οὗ δὴ καὶ ὁ Ἱερὸς Ἐπιφάνιος γράφει ἐν τῇ Ἐκθέσει τῆς Πίστεως. Σὺ δέ μοι περὶ τούτων ὅρα καὶ Ἱερώνυμον Ἐπισ: ΚΒ΄. Καὶ Χρυσόστομον ἐν Ὁμιλ: Δ΄. τῶν εἰς τὸν Ἠσαΐαν. Καὶ εἰς τὰς Πράξ: Κεφ: ΙΗ΄. Καὶ Γρηγόρ: Νύσσης εἰς τὸν Βίον τῆς Ἁγ: Μακρίνης. Καὶ Κυπριανὸν ἐν Βιβλ: Β΄· καὶ Ε΄. καὶ Η΄. καὶ ΙΑ΄. καὶ ΙΒ΄.

ΚΕΦΑ-

# ΚΕΦΑ'ΛΑΙΟΝ Γ'.

## ΠΕΡΙ` ΤΩ~Ν 'ΕΝ ΤΗ~ι 'ΕΚΚΛΗΣΙ'Αι ΤΕΤΥΠΩΜΕ'ΝΩΝ "ΑιΔΕΣΘΑΙ 'ΙΕΡΩ~Ν 'ΑΚΟΛΟΥΘΙΩ~Ν.

ἤτοι

## ΠΕΡΙ` ΤΟ~Υ 'ΕΣΠΕΡΙΝΟ~Υ, ΚΑΙ` ΤΟ~Υ ΜΕΣΟΝΥΚΤΙΚΟ~Υ, ΚΑΙ` ΤΟ~Υ "ΟΡΘΡΟΥ.

## Καὶ Α'.

## ΠΕΡΙ` ΤΗ~Σ ΤΟ~Υ ΜΙΚΡΟ~Υ 'ΕΣΠΕΡΙΝΟ~Υ 'ΑΚΟΛΟΥΘΙ'ΑΣ.

§. 34.

Πρὸς Ἑσπέραν, τῆς ἡμέρας ἤδη ὑποκλινούσης, ὑπὸ τοῦ Παραμοναρίου (τῆς ἐχάτης οὗτος ἐν τῇ Ἐκκλησίᾳ ὑπουργὸς ἐςὶ τάξεως· οὗπερ ἔργον, τὰς λαμπάδας ἅπτειν, καὶ τὸ Θυμιατήριον, καὶ τὰ τοιαῦτα.) σημεῖον δίδοται τῷ κρότῳ τοῦ κώδωνος. Τῶν δ' Ἀδελφῶν πρὸς τὴν ἠχὴν ἐν τῇ Αὐλῇ συναχθέντων, ὁ Ἱερεὺς ὧδε ἐνάρχεται: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Τοῦτον δ' ὁ Ἀναγνώστης, ἑτοίμως παρυπολαβὼν,

λαβὼν, λέγει: Ἀμὴν. Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. Ταῦτα δὲ λέγων τὴν ὅλην παρίστησιν ἄθροισιν τῶν παρεστώτων, ὡς δῆθεν πρὸς τὴν τοῦ Ἱερέως εὐχὴν ἀποκρινομένων.

§. 35.

Ὁ δὲ δὴ πρόεισι: Βασιλεῦ οὐράνιε Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγὸς, ἐλθὲ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Διὰ τῆς εὐχῆς ταύτης ὁμολογοῦσιν οἱ παρεστῶτες: ἀναξίους μὲν σφᾶς αὐτοὺς εἶναι Θεὸν ἐξυμνεῖν, καὶ δεήσεις αὐτῷ καθ᾽ ἑαυτοὺς προσάγειν· διὰ τοῦτο δὲ τὴν χάριν ἐπικαλεῖσθαι τοῦ Ἁγίου Πνεύματος, καὶ τῶν ἰδίων πλημμελημάτων τὴν ἄφεσιν ἐξαιτεῖσθαι· Ἵν᾽ αὐτοῦ σφίσιν ἐμπνεύσαντος ἐνδυναμωθέντες, εὐπροσδέκτους Θεῷ τὰς ἐντεύξεις τὰς ἑαυτῶν προσενέγκωσιν. Εἰς τόδε γὰρ τείνει καὶ τὰ ὑπὸ τοῦ Ἀποστόλου ῥηθέντα: (Β΄. πρὸς Κορινθ: Γ΄. 5.) Ὅτι οὐχ ἱκανοί ἐσμεν ἀφ᾽ ἑαυτῶν, ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ ἐστί· Καὶ ὅτι: Αὐτὸ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις

ἡμῶν

ἡμῶν. τὸ γὰρ τὶ προσευξώμεθα, καθ' ὃ δεῖ, ἐκ οἴδαμεν· (Πρὸς Ῥωμ: Η΄. 26.)

§. 36.

Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς. Ἥρμοσαι δὲ τὸ ἔπος πρὸς τὸν Ἀγγελικὸν ὕμνον ἐκεῖνον: Ἅγιος, Ἅγιος, Ἅγιος. Ἀλλ' ἐπεὶ ἐκ ςομάτων ἁμαρτωλῶν μέλλει προφέρεσθαι, διὰ δὴ τᾶτο τὰ ἐπιτεθέντα προσήφθη: Ἅγιος 1 ὁ Θεὸς. Ἅγιος 2 ἰσχυρὸς. Ἅγιος 3 Ἀθάνατος. Ὧν τὸ μὲν πρῶτον, πιςεύειν ἡμᾶς καὶ καθομολογεῖν τὴν τᾶ ὑψίςα ἁγιωσύνην ἐπιμαρτυρεῖ· τὸ δὲ δεύτερον, τὴν τῆς ἡμετέρας ἐλπίδος ἐπιβεβαιοῖ ἐπιςήριξιν ἐπὶ τῆς τᾶ Θεοῦ προνοίας, ὑπὲρ ἣν ἄτις δύναμις, ἄτ' ἔςιν, ἀδ' ἂν γένοιτο. Τὸ δὲ τρίτον, τὴν Θείαν δύναμιν αἰωνίαν εἶναι ἐπισφραγίζει. Ταῖς ἂν τοιαύταις οἱ ἄνθρωποι ἐννοίαις ψυχαγωγάμενοι, καὶ τῇ τᾶ Θεᾶ ἐπιθαῤῥᾶντες ἀγαθωσύνῃ, τελευταῖον ἐπικαλᾶνται δεόμενοι: Ἐλέησον ἡμᾶς. Τόνδε δὴ τὸν ὕμνον ἡ Εὐσεβεςάτη Βασιλὶς Πελχερία, συνάμα Θεοδοσίῳ τῷ Ὁμαίμονι Ἄνακτι, ἐν ἁπάσαις προσᾴδεσθαι ταῖς Ἐκκλησίαις δἰ Ἐδίκτα ἐκέλευσαν. (ὅρα τὸ Χρονικὸν Θεοφάνας ἐπὶ Πελχερίας Ἀνάσσης.)

§. 37.

§. 37.

Παναγία Τριὰς ἐλέησον ἡμᾶς· Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε ἐπίσκεψαι, καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματόσου. Καὶ αὕτη δὲ ἡ Εὐχὴ οὕτως εἰς τὸν ἐν Τριάδι Θεὸν Πίστιν τε καὶ ὁμολογίαν διείληφε, μετὰ ἱκεσιῶν οὐκ ἀνοικείως ἐχουσῶν πρὸς ἐξομολόγησιν.

§. 38.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομάΣου· ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημάΣου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· Τὴν προσευχὴν αὐτὴν, τὴν ὑπ' αὐτοῦ τοῦ Κυρίου παραδοθεῖσαν, καὶ ἀδιαλείπτως ἐντειλαμένου ταύτην προσεύχεσθαι, μὴ ἀμνημονοῦσα ἡ Ἐκκλησία, ἐς ἀεὶ ἐπαναγινώσκειν ἡμᾶς χρῆναι διέταξε.

§. 39.

Τῆς οὖν Εὐχῆς πρὸς τοῦ Ἀναγνώστου ἀποδοθείσης, αὐτίκα ὁ Ἱερεὺς ἐκφωνεῖ: Ὅτι Σοῦ ἐστὶν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα,

τῦ Πατρὸς, καὶ τῦ Υἱῦ, καὶ τῦ Ἁγίυ Πνεύματος, νιῶ, καὶ ἀεὶ, καὶ εἰς τῦς αἰῶνας τῶν αἰώνων. Τὰς γὰρ εὐχὰς καὶ κατάρχεθαι καὶ ἀποπεραίνειν, τῦ Ἱερεως ἐςὶν.

## ἜΚΘΕΣΙΣ ΤΗ͂Σ ΚΥΡΙΑΚΗ͂Σ

## Προσευχῆς.

Πάτερ ἡμῶν! Σὺ ὁ Θεός μυ, ὁ καὶ κτίσας με κ̀ ἐξαγοράσας, μεγάλας ἐμοὶ ἐπεδαψιλεύσω εὐεργεσίας, κ̀ καθ᾿ ἑκάστιω ἐγὼ τῦ βίυ ῥοπιὼ τῆς σῆς ἀπολάυων τυγχάνω χρηςότητος. Ἀλλ᾿ ἐγὼ τῶν εὐποιιῶν τῶν παρὰ σῦ ἐπιλελησμένος, λίαν Σε ὁ ἀγνώμων παρεπίκρανα· διὸ ὐδὲ ἄξιος εἰμὶ τῦ ἐπικαλεῖθαι Σε. Αὐτὸς δ᾿ οιῶ, ὅλως ὢν ἀγαθότης, ἐπιτρέπεις μοι καὶ πατέρα σε ὀνομάζειν. Πρὸς σὲ τοίνιω ὡς ὁ Υἱὸς ὁ ἄσωτος κράζω: Πάτερ! Ἐπεὶ δὲ ἡ παρὰ σῦ ἀγάπη ἐπίσης ἐξικνεῖται πρὸς ἅπαντας, διὰ τῦτο ὐ τολμῶ σε ἀποκαλεῖν Πατέρα ἐμὸν, ἀλλὰ Πατέρα κοινῇ ἁπάντων· Πάτερ ἡμῶν! διὸ καὶ πάντας ἀγαπητὺς ἔχειν ὀφείλω, ὅτι σύ ἀγαπᾷς ἁπαξάπαντας.

Ὁ ἐν τοῖς Οὐρανοῖς· Καί τοι γὰρ ἡμῶν αἱ ἁμαρτίαι ἀπὸ Σῦ ἡμᾶς ἀπεμάκρωαν, ἀλλ᾿

ἀλλ' αὐτὸς κλίνας ὀυρανὺς πανευσπλάγχνως, εἰς ὀυρανὸν ἡμᾶς ἐπανάγεις.

Ἁγιασθήτω τὸ ὄνομάσε: Ποίησον ἡμᾶς διὰ πίςεως καὶ ἀρετῆς ἐπὶ γῆς Σε δοξάζειν, ὥσπερ οἱ τῆς μακαρίας ἤδη ἀπολάυοντες λήξεως, δοξάζουσί Σε ἐν ὀυρανοῖς· ἵνα καὶ οἱ ἑαυτὺς ἀποςήσαντες, ὅσον Ἅγια ἐςὶ τὰ παρὰ Σὺ νομοθετηθέντα σωήσωσιν.

Ἐλθέτω ἡ Βασιλείασε: Μὴ Βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, ἀλλ' ἡ δύναμις καὶ ἡ χάρις ἡ σὴ, ἐν ἡμῖν Βασιλευέτω.

Γενηθήτω τὸ Θέλημάσε, ὡς ἐν ὀυρανῷ καὶ ἐπὶ τῆς γῆς. Εὖ ὄιδ' ἐγὼ, ὅτι ἡ ἐν ἐμοὶ θέλησις διέφθαρται, αἱ ἐπιθυμίαι εἰσὶ μάταιαι, αἱ ἐνθυμήσεις ἐπισφαλεῖς· διὸ ὀ βύλομαι τὸ ἐν ἐμοὶ θέλημα ἐκπληρῦσθαι. Ἡ θέλησις ἡ σὴ, ὦ Ἅγιε Ἁγίων! ὑπερτελεία ἐςὶ καὶ ἀκήρατος· ποίησον τοίνυν καὶ παρ' ἡμῖν τοῖς ἐνταῦθα διάγυσιν, αὐτὴν τελεῖσθαι παραπλησίως, καθάπερ ὗν ἐκτελεῖται καὶ τοῖς ἐν Ὀυρανοῖς τῶν μακαρίων μονῶν ἀπολάυυσι.

Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Οὐ πραγμάτων περιουσίαν αἰτοῦμαι Σε καὶ δαψίλειαν, τὴν ἀνθρώποις τὰ πλεῖστα, διὰ τρυφῆς, αἰτίαν γινομένην τοῦ ἀπὸ Σοῦ χωρίζεσθαι, ἀλλ' ὅσον ἀπόχρη μόνον πρός τὴν διάρκειαν τοῦ ζῆν αἰτοῦμαι Σε. Ουδέμοι μέλει περὶ τῆς αὔριον ἐπιμεριμνᾷν, εὖ μάλα πειθομένῳ, ὡς ὅ, τι ἐμοί πᾶσα ἀνάγκη, ἐπαρκεῖν αὐτὸς καὶ οἶδας, καὶ δυνάσαι.

Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Μέμνημαί Σου καθυπεσχημένου, ἀφήσειν τῷ ἀφιέντι τοῖς ἄλλοις τὰ πρὸς αὐτὸν ὀφειλήματα. Διόπερ ὀργὴν, καὶ ἀπέχθειαν, καὶ φιλεκδικίαν, καὶ ὑπερηφανίαν, καὶ βασκανίαν ἀποτίθεμαι πᾶσαν· τῶν κατ' ἐμοῦ ἀδικημάτων ἐπιλανθάνομαι· τὰ ἐμοὶ ὀφειλόμενα οὐκ ἀπεξαιτοῦμαι. Μόνον συγγνοίης τοῖς πρὸς Σέ ὑπ' ἐμοῦ ἐξημαρτημένοις ἀντιβολῶ.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ Πονηροῦ. Ουκ ἔχω μὴ ὁμολογεῖν, ὅτι πολλοῦ δέομαι τοῦ τὰ ἐπισκήπτοντά μοι τῶν λυπηρῶν προκαταλαμβάνειν· Οἶδα, ὅτι τὰ διαβήματά μου πολλαῖς

πολλαῖς πανταχόθεν περιπλέκονται ταῖς παγίσι. Σύ με ἀπὸ τȣ̃ πονηροῦ διατήρησον. Σῶσον με ἀπὸ ὀλιϑήματος. Ὁρῶ τὸν Διάβολον ὡς λέοντα κατ᾽ ἐμȣ̃ ὠρυόμενον, καὶ καταφαγεῖν με ζητȣ̃ντα· ἀλλ᾽ ἡ ἐν ἐμοὶ ἰχὺς ἀϑενȣ̃σα, ȣ̓χ οἵα τε ἐςὶν ἀντιςῆναι τῷ πονηρῷ· τῇ Σῇ ȣ̃ν δυνάμει ῥῦσαιμε ἐξ ἐκείνȣ.

Ὅτι Σȣ̃ ἐςὶν ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα κ.τ.λ.: Ἐπὶ σοὶ ὅλως τῷ Θεῷμȣ, πᾶσα ἐπερείδεται ἡ ἐλπίς μȣ. Ὅτι Σὺ ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα, ὁ Βασιλεὺς ὑπάρχεις τῶν πάντων, καὶ Σȣ̃ ἡ Βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα ἀτελεύτητός τε ἐςὶ καὶ ἄτρεπτος εἰς αἰῶνας. Ἀμὴν.

§. 40.

Ὅτε δὲ γίνεται Ἀγρυπνία: (τȣτέςιν, ὅτε ἡ Ἱερὰ ἀκολȣϑία ἐν ψαλμοῖςτε καὶ ὕμνοις καὶ δεήσεσι, δι᾽ ὅλης ἐςὶ τῆς νυκτὸς προακτέα:) τότε δὴ αἱ προοιμιώδεις ἐκεῖναι ἱκεσίαι παραλιμπάνονται, διὰ τὸ τὰς Ἑσπερινὰς εὐχὰς πρὸ τῶν Ἀγρυπνιῶν προηγεῖσϑαι.

§. 41.

Ἡ δὲ τάξις, καϑ᾽ ἣν τὰ τȣ̃ μικρȣ̃ Ἑσπερινοῦ προαναβαλλόμενα τελεῖται,

ȣ̓κ

ὐκ ἐκτίθεται ὧδε, ὅτι περὶ τῶν λοιπῶν τῆς τοιᾶς δε τελετῆς μερῶν, ἐν ἄλλοις εἰρήσεται.

## Β΄. ΠΕΡΙ῀ ΤΗ῀Σ ἈΚΟΛΟΥΘΙ΄ΑΣ, ΤΗ῀Σ ΤΩ῀Ν ἈΓΡΥΠΝΙΩ῀Ν· ΤΟΥΤΕ΄ΣΤΙ:

Περὶ τῶν ψαλμῳδιῶν τε καὶ ὕμνων, τῶν δι' ὅλης τῆς Νυκτὸς παρατείνεσθαι εἰωθότων.

§. 42.

Βραχύτι ὅσον μετὰ τὴν ἡλίου δύσιν, ὁ Παραμονάριος τὸν μέγαν κώδωνα ἐπικρούσας, ὡς ἂν τὴν ἐπὶ τῇ σινάξει ἐν τῷ Ναῷ εἰσέλευσιν διασημαίνῃ, ἀνάπτει τὰς λαμπάδας, καὶ τὸν θυμιατὸν παρασκευάζει· εἶτα τοῦ Ναοῦ ἐξιὼν, σύμπαντας ἤδη τοὺς κώδωνας ἅμα σινεπικρούεται. Ἐπανελθὼν δ' αὖ, καὶ τὸ κηρουχεῖον ἀνάψας, πρὸ τῶν πυλῶν εὐθὺ καθίσησι τῶν Βασιλικῶν. Τηνικαῦτα δὲ ὁ Ἱερεὺς εἰς τὸ Ἱερὸν εἰσέρχεται Βῆμα, καὶ φορεῖ τὸ ἐπιτραχήλιον· καὶ λαβὼν τὸ θυμιατήριον, θυμιᾷ περιϊὼν κύκλῳ τὴν Ἁγίαν Τράπεζαν, καὶ τὴν Πρόθεσιν, καὶ τὰ ἄλλα· τῶν δὲ Θυρῶν αὐτῷ τῶν

Βασιλικῶν διαςελλομένων ἐξέρχεται. (ὅρα: Προσφορὰ τοῦ Λιβανωτοῦ, ἤτοι ἐπιθυμίασις.)

§. 43.

Τότε δ' ὁ Παραμονάριος, ἑςὼς ἐν μέσῳ τοῦ Ναοῦ, καὶ τὴν λαμπάδα ἀνημμένην κατέχων, φωνεῖ γεγωνώτερον: Ἐγείρεσθε·

Δηλοῦται δὲ διὰ τοῦ φωνήματος τοῖς ἐν τῷ Ναῷ συνηγμένοις, καιρὸν εἶναι τοῦ ἤδη τῆς Δοξολογίας ἐνάρξασθαι· ἐπειδὴ καθήμενοι περιμένειν εἰώθεσαν.

§. 44.

Τοῦ δὲ ςίχου ἐπὶ τῷ ἀκοῦσαι ὀρθοῦ καταςάντος, ὁ Ἱερεὺς ἐκφωνεῖ: Δόξα τῇ Ἁγίᾳ, καὶ Ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ὁ δὲ τοῦ χοροῦ προϊςάμενος, ἢ ὁ Ἐκκλησιάρχης, ἄρχεται: Ἀμήν: Δεῦτε προσκυνήσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ, κτξ: παραινῶν τοῖς παρεςηκόσιν, ἀρχὴν ποιεῖσθαι τῆς Δοξολογίας, τῇ ἑαυτῶν ὑπὸ τῷ Θεῷ ὑποπτώσει, ἣν διὰ τῆς προσκυνήσεως ἐπιμαρτύρονται:

§. 45

Αὐτίκα δ' ὁ Χοραγὸς, φωνῇ ἔτι γεγωνωτέρᾳ τοῦ ψαλμοῦ κατάρχεται: Εὐλόγει

γει ἡ ψυχή μȣ τὸν Κύριον κτ: τὸν αὐτὸν ὁμοίως καὶ τῶν λοιπῶν, Ἀδελφῶν ἀργῶς τε καὶ ἐμμελῶς συνυπᾳδόντων: ἐν ᾧ δή ψαλμῷ τὰ τȣ̃ Θεȣ̃ ποιήματα καταλέγεται, καὶ τὰ θαυμάσια αὐτȣ̃, τὰ πάντα νȣ̃ν ὑπερέχοντα· ἥτε πρόνοια καὶ ἡ κηδεμονία, δί ἧς ȣ̓χ ὅπως περὶ τὴν τȣ̃ ἀνθρώπȣ, ἀλλὰ καὶ περὶ τὴν παντὸς κτίσματος σωτήρησίν τε κ̀ ὑποςήριξιν, νυκτὸς καὶ ἡμερας, τῷ παντεφόρῳ αὐτȣ̃ ὄμματι ἐπαγρυπνῶν περιγράφεται. (Ὅρα ἐν ταῖς Διαταγ: τῶν Ἀπος: Β,βλ: Η' Κεφ: ΛΕ'. Ἑσπέρας γενομένης, συναθροίσεις (Ἐπίσκοπε) τὴν Ἐκκλησίαν· καὶ μετὰ τὸ ῥηθῆναι τὸν ἐπιλύχνιον ψαλμὸν, προσφωνήσει ὁ Διάκονος τὰς εὐχάς·

## §. 46.

Ἐπειδὰν δὲ τὰ τȣ̃ ψαλμȣ̃ εἰς ἐκεῖνο ἀφίκηται, τό: πάντα ἐν σοφίᾳ ἐποίησας· κ̀ δόξα ἀποδοθῇ τῷ Κυρίῳ, τῷ τὰ παντα δημιȣργήσαντι, τότε ὁ Ἱερεὺς φορῶν τὸ Ἐπιτραχήλιον ἀπέρχεται, καὶ λέγει τὰς εὐχὰς τȣ̃ Λυχνικȣ̃, ἱςάμενος ἀσκεπὴς ἔμπροσθεν τῶν Ἁγίων Θυρῶν.

Αἱ Λυχνικαὶ αὗται εὐχαὶ, ἃς ἐν τῷ προσᾴδεσθαι τὸν ψαλμὸν ὁ Ἱερεὺς ὑπαναγινώσκει, δεήσεις προσαρμοζȣ̃σας τῇ

ἑσπέρα, καὶ τῇ ἐπιούσῃ νυκτὶ, εἰσὶ περιέχουσαι. Λυχνικαὶ δὲ καλοῦνται, ὅτι πρὸς Λύχνον, τὸν ἐπὶ τοῦ ἀπέναντι τῶν Βασιλικῶν Θυρωμάτων Λυχνῶνος κείμενον ἀναγινώσκονται. Ἡ γὰρ τῶν Ἑσπερινῶν ὕμνων αὕτη ἀκολουθία, μετὰ δυσμιὰς ἡλίου, σκοτίας ἤδη ὑπεισιούσης, τελεῖσθαι ἤρχετο. Ἐν γοῦν ταῖς Διαταγαῖς τῶν Ἀποστόλων (Βιβλ: Η΄. Κεφ: Λϛ΄. καὶ ΛΗ΄.) ἡ τῶν Λυχνικῶν Εὐχῶν τούτων ὑπόθεσις ἀναπτύσσεται· Ὅ, τε Ἱερὸς Ἐπιφάνιος ἐν τῇ τῆς Πίστεως ἐκθέσει, (ἐν Τομ: Α΄. Τμήμ: ΚΓ΄.) Ἑωθινούς τε ὕμνους ἐν τῇ Ἐκκλησίᾳ (φησὶ) διηνεκεῖς γίνεσθαι, καὶ προσευχὰς Ἑωθινὰς: Λυχνικούς τε ἅμα ψαλμοὺς καὶ προσευχάς.

§. 47.

Τῆς τοῦ ψαλμοῦ ᾠδῆς περανθείσης, λέγεται ἡ μεγάλη Ἐκτενής· ἤτοι τὰ Διακονικά· (οὕτως αἱ διεξοδικαὶ καλοῦνται Αἰτήσεις, ἅς περ ὁ Διάκονος προσφωνεῖν εἴωθεν, ὧν τε ἡ καταρχή: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν, κτ: Μετὰ δὲ τὴν Ἐκτενῆ προφέρεται ἡ ἐκφώνησις (Ὅρα Ἐκτενής.)

Ὁ Θεῖος Χρυσόστομος (ἐν Ὁμιλ: ΙΔ΄. τῶν εἰς τὴν πρὸς Ῥωμ:) Ἐπειδὴ γὰρ

πολλὰ τῶν συμφερέντων ἡμῖν ἀγνοῦντες τὰ μὴ συμφέροντα αἰτοῦμεν, ἤρχετο χάρισμα εὐχῆς εἰς ἕνα τινὰ τῶν τότε ὃ καὶ νῦν σύμβολον ἐστὶν ὁ Διάκονος, τὰς ὑπὲρ τοῦ δήμου ἀναφέραν εὐχάς. Τοῦτο ἰδίως τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν. Ὡσαύτως περὶ τῶν κοινῶν τῶνδε ἐξαιτήσεων· ἤτοι περὶ τῆς ἐκτενοῦς, ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς (Βιβλ: Η΄. Κεφ: Ι΄.) σαφῶς διείληπται. Καὶ παρὰ Διονυσίῳ δὲ τῷ Ἀρεοπαγίτῃ· (ἐν τῷ περὶ τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας Κεφ: Γ΄.)

§. 48.

Μετὰ δὲ τὴν ὑπὸ τοῦ Ἱερέως ῥηθεῖσαν Ἐκφώνησιν, τὸ πρῶτον τοῦ ψαλτηρίου Κάθισμα στιχολογεῖται, ἐν Ἤχῳ Η΄. (ἤτοι Πλ: Δ΄:). Τὰ μὲν οὖν τοῦ Ψαλτῆρος Καθίσματα, εἴκοσιν ἀριθμεῖται τὰ πάντα: τὸ δέ τοι Κάθισμα, οὐδὲν ἄλλ᾽ ἢ βραχύ τι ἐστὶ διάλειμμα, τὸ μεταξὺ χωροῦν τῆς τῶν ψαλμῶν Ἀναγνώσεως· ἐν ᾧ, τῶν Ἀκροατῶν καθεζομένων, ἄλλαι τινὲς εὐχαὶ, ἢ ἐκ τῆς Ἱερᾶς Γραφῆς περικοπαὶ, ἐπανεγινώσκοντο. Διὸ καὶ Κάθισμα εἴρηται, τὸ ἐν μέσῳ τοῦτο διαλειφθέν. Ἀφ᾽ ἑτέρου δ᾽ οὖν Καθίσματος ἐπὶ θάτερον, οἱ ἀναγινωσκόμενοι ψαλμοὶ, εἰς Δόξας τρεῖς διαστέλλονται· διὰ τὸ

ἐν

ἐν τῷ τέλει τούτων ἑκάστου, ἐπ᾽ ἐνίοις, τὴν βραχυτέραν Δοξολογίαν ἐπᾴδεσθαι.

Τῇ μὲν οὖν Κυριωνύμῳ τῶν ἡμερῶν, τοὺς πρὸ τοῦ πρώτου τῶν Καθισμάτων ψαλμοὺς διατέτακται ἀναγινώσκεσθαι ἅπαντας· ἐν δὲ ταῖς ἑορτασίμοις διαφερόντως τῶν Ἁγίων ἡμέραις, τοὺς Τρεῖς μόνον τοὺς πρώτους· καθότι, διὰ μὲν τοῦ πρωτίστου τούτων, εὐφημία τε ἀναγράφεται, καὶ ἔπαινος, καὶ μακαρισμὸς, τοῖς τὰς ἑαυτῶν βουλάς τε καὶ πράξεις πρὸς τὸν θεῖον κατευθυνοῦσι νόμον· διὰ δὲ τῶν λοιπῶν, ἡ παρὰ Θεοῦ περὶ ἡμᾶς ἐξυμνεῖται κηδεμονία καὶ πρόνοια.

§. 49.

Ψάλλεσθαι δέ τινας ἐκ τῶν ψαλμῶν ἐπιλέκτους ἔθισαι στίχους. (Ὅρα ἐν Διαταγ: ταῖς τῶν Ἀποσ: Βιβλ: Β΄. Κεφ: ΝΖ΄.) Ἕτερος δέ τις τοὺς τοῦ Δαβὶδ ψαλλέτω Ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω. Καὶ δῆλον ἄρ᾽ ἐντεῦθεν, ὡς ἐν τῇ Ἐκκλησίᾳ τὸ πάλαι, τῶν ψαλμῶν ὑπὸ τοῦ Ἀναγνώστου ἐκφωνουμένων, ὁ λαὸς ὑπηχῶν διῄει τῶν στίχων τοὺς πρώτους, καὶ τοὺς ἐσχάτους· τοῦθ᾽ ὅπερ ἐφ᾽ ἡμῶν παρὰ τῷ Κλήρῳ ἐστί.

§. 50.

§. 50.

Ἐκπερανθείσης τῆς σωήθȣς ταύτης προοιμιακῆς ψαλτῳδίας, χωρȣ̃μεν ἐφεξῆς, ἐπὶ τὸν ἐν τῃ καλȣμένῃ Ὀκταήχῳ Βίβλῳ παρέκοντα ἦχον, ψάλλοντες τȣ̀ς ψαλμȣ̀ς: ΡΜ΄. ϗ ΡΜΑ· ϗ ΡΚΘ. καὶ ΡΙϚ. τȣ̀ς ἱκεσίας τε τὰς ἐπὶ μετανοίᾳ περιέχοντας, καὶ τὴν εἰς Θεὸν ἀνακηρύττοντας ἐν ὕμνοις ἐξομολόγησιν. Τοῦ δὲ ΡΜ. Ψαλμȣ̃, τȣ̃ καθ᾽ ἑσπέραν ᾄδεσθαι διατυπωθέντος, καὶ αἱ τῶν Ἀποςόλων μνήμην ποιȣ̃νται Διαταγαί. Ὅνπερ δὴ ψαλμὸν καὶ ὁ θεῖος διερμηνέυων Χρυσόςομος: Ὀυδὲ ἁπλῶς οἶμαι (φησὶ) τὸν ψαλμὸν τȣ̃τον τετάχθαι παρὰ τῶν Πατέρων, καθ᾽ ἑκάςην ἑσπέραν λέγεσθαι· ȣ̓δὲ διὰ τὴν μίαν λέξιν, τὴν λέγȣσαν: ἔπαρσις τῶν χειρῶν μȣ θυσία ἑσπερινὴ . . . . . Ἀλλ᾽ οἷον τι φάρμακον Σωτήριον, καὶ ἁμαρτημάτων καθάρσιον ἐνομοθέτησαν λέγεσθαι. (Ὅρα καὶ ἐν Ὁμιλ: ΚΒ΄. τῶν εἰς τὴν πρὸς Ἑβρ: Ἐπιςολήν.)

§. 51.

Τοῦ δὴ ΡΜ. ψαλμȣ̃ ᾄδεσθαι ἀρχομένȣ, ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος θυμιᾷ τὸν Ναόν· Ἀμέλει τοι γὰρ διὰ τῆς θυμιάσεως, ἡ τῶν πιςῶν ὁμήγυρις εἰλικρινῶς ἐςὶ μαρτυρȣ̃σα

σπȣδά-

σπουδάζειν, τὴν πρὸς Θεὸν καὶ τοὺς Ἁγίους αὐτοῦ, ἀναφέρειν ὑμνολογίαν καὶ αἴνεσιν. Θεόδοτος δὲ ὁ Ἀγκύρας, ἐν τῷ Λόγῳ τῷ εἰς τὰ Γενέθλια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοὺς Μάγους, ἔφη, τὴν σμύρναν προσενηνοχέναι, ὅτι Θεὸς ἦν ὁ τεχθεὶς ἐξ οὗ, καὶ τὸ ἔθος ἔκπαλαι κρατῆσαι, τοῦ τὴν τοιάνδε τῷ Θεῷ προσφοράν προσάγεσθαι· Καὶ ὁ θεῖος δὲ Ἀμβρόσιος (ἐν τοῖς περὶ Μυστηρ: Βιβλ: ς΄: Κεφ: Α΄.) Ὥσπερ (φησὶ) τὸ θυμιατήριον ὀσμὴν εὐωδίας προχέει, οὕτω καὶ ὑμεῖς εὐωδία Χριστοῦ ἐστέ. Προσέχετε οὖν, μή τινι ἐξ ὑμῶν δυσσεβείας κακοσμία τις εὑρεθείη.

§. 52.

Ψάλλονται οἱ τῆς Ἀναστάσεως ὕμνοι· οἱ δὲ, οὐδὲν ἄλλ᾽ ἢ Τροπάρι᾽, ἅττα εἰσὶν, ἐν ποικίλοις ῥυθμοῖς τόνους διαφόρους ἀποδιδοῦντα, καὶ τὴν τῆς καθεστώσης ἑορτῆς ἀνάμνησιν περιέχοντα. Συντετάχαται δὲ ὑπὸ τῶν Πατέρων, τῶν κατὰ τὴν Β. καὶ Γ. καὶ Δ. καὶ τὰς ἑξῆς Ἐκκλησιαστικὰς Ἑκατονταετηρίδας ἀκμασάντων. Καθάπερ οὖν ὁ Ἱερὸς Κλήμης ὁ Ἀλεξανδρείας, εἰς αἶνον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔσθ᾽ ἅττα ἔπη συνέταξε, καὶ

Ἀθηνα-

Ἀθιωογένης ἔνια, ὥςε κατὰ τὰς τελȣμένȣς ἑσπέρας τε ϗ νυκτὸς ὕμνȣς προσᾴδεσθαι. Ὡσαύτως δε καὶ Νέπως ὁ ἐν Αἰγύπτῳ Ἐπίσκοπος, καὶ Ουικτωρῖνος, καὶ Λακτάντιος· ϗ ὁ Ναζιανζηνὸς δὲ, ϗ Σεδȣ́λιος, καὶ Ἀνατόλιος· καὶ ὁ Θεῖος Δαμασκηνὸς, καὶ Κοσμᾶς, καὶ Ἰωσὴφ, καὶ ἄλλοι: κατὰ ζῆλον δηλονότι τῶν ψαλμῶν, καὶ τῶν ἄλλων τῆς παλαιᾶς Γραφῆς Βιβλίων, τῶν διὰ τὸ ἡδύτερον τῆς μελοποιΐας ςιχȣργηθέντων.

§. 53.

Τῶν Τροπαρίων μεταξὺ, τινὰ ψαλμικὰ προαναβάλλεται ἔπη. 1. ὡς ἂν θατέρȣ θάτερον διεςάλθαι φανερὸν γένηται. 2. ἵνα διὰ τῶν ψαλμικῶν ςίχων, τῶν ταῖς ἑσπεριναῖς εὐχαῖς προσφυῶς προσοικειȣμένων, ἀτενεςέρα τῇ ἱερᾷ ἀκολȣθίᾳ ἡ προσοχὴ ἐπιφέρηται.

§. 54.

Ἐν ᾧ δὲ προηχεῖται τό: Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτȣ̃ ἐφ᾽ ἡμᾶς κτλ. ὁ Ἱερεὺς ἐνδιδύσκεται τὸ Φελόνιον· οὐδὲ γὰρ ἄλλως, ἢ ἐν ςολῇ τῇ πρεπȣ́σῃ ἠμφιεσμένον, τὸν Ἱερέα δέον ἐπὶ τȣ̃ Ἱερατείȣ παρίςασθαι· εὖ οἶδ᾽ καὶ ὁ θεῖος Ἱερώνυμος παραινῶν

γράφει: Μὴ ταῖς καθ' ἡμέραν γινομέναις ἐν χρήσει, καὶ τῷ κοινῷ βίῳ καταμολυνομέναις ἐσθήσεσι, θέμις εἶναι τὸν Ἱερέα εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσέρχεσθαι· ἀλλ' ἐν καθαρῷ τῷ συνειδότι, καὶ καθαροῖς τοῖς ἱματίοις τῶν μυστηρίων ἐφάπτεσθαι· (εἰς τὸ Ἰεζεκιὴλ Κεφ: ΜΔ΄.)

§. 55.

Μεθ' ὅ, ἡ εἰς τὸ Θυσιαστήριον τελεῖται εἴσοδος, οὕτω: Τοῦ μὲν Διακόνου κατέχοντος τὸ θυμιατήριον, τοῦ δ' Ἱερέως τῷ Διακόνῳ κατ' ἴχνος ἐφεπομένου, ἐν δυσὶν ἀνημμέναις λαμπάσιν αὐτῶν προηγουμέναις.

Προΐασι δ' αἱ λαμπάδες καιόμεναι εἰς τὸ Φωσφορεῖν· ἤ μᾶλλον, τὸν Ἱερατεύοντα ὑπομιμνήσκειν, ὅτι ἐν ψυχῇ ὑπὸ ἔρωτος θείου ἐκπυρσευομένῃ τῷ Θεῷ δεῖ προσιέναι.

§. 56.

Ὁ Διάκονος τὸ πρὸς Ἀνατολὰς μέρος δεικνὺς τῷ Ἱερεῖ, λέγει: Εὐλόγησον Δέσποτα τὴν Ἁγίαν εἴσοδον: Καὶ ὁ Ἱερεὺς εὐλογεῖ κατὰ Ἀνατολὰς, λέγων: Εὐλογημένη ἡ εἴσοδος τῶν Ἁγίων Σου Κύριε.

Διὰ δὲ τῆς εὐλογίας αἰνίττεται, μόνους χρῆναι τοὺς Ἁγίους τε καὶ ἀμώ-

μους

μους εἰς τὸ Θυσιαστήριον εἰσιέναι. Κἀντεῦθεν συνάγεται, ὅτι πάλαι ἐν τῇ Ἐκκλησίᾳ ὁ Ἱερεὺς, πρὸ τῆς τοιᾶσδε εἰσόδου, ἐπὶ τὸ Θυσιαστήριον οὐ προσῄει.

§. 57.

Τηνικαῦτα δὲ ὁ Διάκονος εἰς τὸ μέσον χωρῶν, καὶ σταυροειδῶς μετὰ τοῦ θυμιατοῦ χαράξας, ἐκφωνεῖ: Σοφία! ὀρθοί!

Ἐν οἷς δὴ ῥήμασιν οἱ περιεστῶτες παραινοῦνται, διὰ μὲν τῆς φωνῆς: Σοφία ὡς αὐτίκα ἐκ τῆς Ἱερᾶς Γραφῆς ἀνάγνωσις ἕψεται, δι᾽ ἧς ἡ τοῦ Θεοῦ Σοφία ἀποκαλύπτεται· διὰ δὲ τῆς φωνῆς Ὀρθοί! ὅπως ἂν μηδεὶς δι᾽ ἐνθυμήσεων ἀλλοτρίων περισπᾶσθαι ἀνέχοιτο: ἀλλὰ καὶ ὠσὶ καὶ καρδίᾳ κεκαθαρμένοι ἕκαστοι, προσέχοιεν ἐπιμελῶς ἀκροᾶσθαι τῆς ἀναγνώσεως. Ἡ δ᾽ αὐτὴ παραίνεσις, καὶ πρὸς τὴν τοῦ Ἱερέως ἐν τῷ Θυσιαστηρίῳ εἰσέλευσιν τείνει, τοῦ ἀντὶ τοῦ λαοῦ προσιόντος· (Χρυσοσ: Ὁμιλ: Δ΄. περὶ τοῦ Ἀκαταλήπτου.)

Ἡ τοιάδε εἰς τὸ Θυσιαστήριον εἴσοδος ἀναληπτέα ἐστὶν ἀπὸ τοῦ Παστοφορίου· ἤτοι ἀπὸ τῆς ἐξόπισθε τῆς Τραπέζης στοᾶς· οὐ γὰρ ἄλλοθί που ἐφεῖται τὸν Ἱερουργοῦντα,

τὰ

τὰ ἱερὰ ἐνδύεσθαι ἄμφια. Ἐκ γὰρ δὴ τῶνδε τῶν ῥημάτων: Ποιῦνται τὴν Εἴσοδον, τῶν Ἁγίων πυλῶν ἐν τέτω ἀνοιγομένων: σωάγεται, τὸ τηνικάδε τὰς Ἱερὰς ἀνοίγεσθαι πύλας, ὁπηνίκα ὁ Ἱερεὺς ἐκ τῦ Ναῦ μέσε, ἐπὶ τῷ θυμιᾶσαι τὸ Θυσιαςήριον πρόεισι. Πρὸς δὲ τὸ διαςέλλειν τὰς πύλας, ἐν ταῖς ἐπισημοτέραις καὶ πρωτευέσαις τῶν Ἐκκλησιῶν, ὑπεργοιῦτες εἰσὶν οἱ Ἀκόλεθοι: ἤτοι οἱ Κηροφόροι: οἵτινες, ἀπὸ τῆς Βορειοτέρας θύρας ἐξιόντες, προπορέυονται ἄχρις ἐπὶ τὰς πύλας τὰς Βασιλικὰς, τὰς (ἐκφωνῦντος ἤδη τῦ Διακόνε) Σοφία! ὀρθοί!) ἀναπεταννυμένας. Ἐπειδὴ δὲ νυῦ καθ᾽ ἡμᾶς, αἵτε περὶ τὸ Θυσιαςήριον ςοαὶ ἀπεξέλιπον· καὶ οἱ τῆς ὑποδεεςέρας δὲ τάξεως ὑπηρέται ἐκέτι περίεισι, τέτε δὴ ἕνεκα αἱ Βασιλικαὶ πύλαι, εἴτε ὑπὸ τῦ Διακόνου, εἴτε καὶ ὑπὸ τῦ Ἱερέως αὐτῦ, εἰσοδέυειν μελλόντων, εἰώθασι διαςέλλεσθαι·

§. 58.

Καὶ ἡμεῖς ψάλλομεν: Φῶς Ἱλαρὸν, Ἁγίας δόξης ἀθανάτε Πατρὸς, ἐρανίε, ἁγίε, μάκαρος, Ἰησῦ Χριςὲ, ἐλθόντες ἐπὶ τὴν ἡλίε Δύσιν κτ: οἱ δ᾽ Ἀναγνῶςαι τὰς λαμπάδας ἐπάραντες προπορέ-

πορεύονται, ἄχρις ἐπὶ τῶν Βασιλικῶν πυλῶν.

Ἐν τῷδε τῷ ὕμνῳ, Αἰνέσεις περιεχόμεναι εἰσὶν εἰς Θεὸν, πρὸς ὃ τὸ Θυσιαστήριον ὁ Ἱερεὺς πρόσεισι· τοῦ δ' ὕμνου ποιητὴς νομίζεται γενέσθαι Σωφρόνιος ὁ Ἱεροσολύμων Πατριάρχης, ὁ κατὰ τὸν Ζ΄. Αἰῶνα ἀρχόμενον τῷ βίῳ περιών. Ἀλλὰ γὰρ τὴν τοῦ Μεγάλου Βασιλείου, (ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύματος Κεφαλ: ΚΑ΄. μαρτυρίαν ἐπισταθμωμένοις, ἡγητέον, τὸν ὕμνον τόνδε, ἀρχαιότερον ἁρμοσθῆναι. Ἔδοξεν (ἔφη ὁ Μ. Βασίλειος) τοῖς πατράσιν ἡμῶν, μὴ σιωπῇ τὴν χάριν τοῦ Ἑσπερινοῦ φωτὸς δέχεσθαι, ἀλλ' εὐθὺς φανέντος εὐχαριστεῖν. Καὶ ὅστις μὲν ὁ πατὴρ τῶν ῥημάτων ἐκείνων τῆς ἐπιλυχνίου εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν· ὁ μέντοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν· καὶ οὐδενὶ πώποτε ἀσεβεῖς ἐνομίσθησαν οἱ λέγοντες: Αἰνοῦμεν Πατέρα, καὶ Υἱὸν, καὶ Ἅγιον Πνεῦμα Θεοῦ. Παρὰ ταῦτα δὲ ὁ ὕμνος οὗτος, κἀν τῷ Παλαιῷ Χειρογράφῳ Ἀλεξανδρίνῳ Κώδικι τῶν Ο Ἑρμηνευτῶν εὑρίσκεται. Ὅθεν πιθανὸν ἐστὶ τὸν Ποιητὴν τοῦδε τοῦ ὕμνου ἀρχαιότερόν τινα ἄλλον γενέσθαι, καὶ οὐχὶ Σωφρόνιον, ᾧ ἐπιγράφεται. Μάρκος γεμὴν ὁ Ἐφέσου (ἐν τῷ εἰς τὸ Συμεὼν τοῦ Θεσσαλ: Συγγραμ:) συντετάχθαι τὸν

ὕμνον.

ὕμνον γράφει ὑπὸ Ἀθωογένους τοῦ Ἱερομάρτυρος.

§. 59.

Ὁ δὲ Διάκονος εἰς τὸ Ἅγιον Θυσιαστήριον εἰσελθὼν θυμιᾷ τὴν Ἱερὰν Τράπεζαν σεβασμιάζων, προσκυνοῦντος ἐν τούτῳ τοῦ Ἱερέως, καὶ κατασπαζομένου τὰς Ἁγίας πύλας· αἳ δὴ καὶ εἰσεληλυθότος ἐπιζυγοῦνται. — Ἔυδηλον δ' ὅτι, μετὰ τὸ περιθυμιαθῆναι τὸν Ναὸν ὅλον, καὶ ἡ τοῦ Θυσιαστηρίου ἐπιθυμίασις εἰκότως διὰ τῆς εἰσόδου ἀναλαμβάνεται.

Ἀλλ' ὅτε δὴ τὸ μικρὸν Ἑσπερινὸν τελεῖται, ἡ τοιαύτη οὐ γίνεται εἰςτὸ Θυσιαστήριον εἴσοδος· ἐπειδὴ δὲ ἡ τῆς τῶν θείων τελετῆς ὕμνων διάταξις ἐκ τῶν Μοναστηρίων παρείληπται, ἐν δὲ ταῖς τῶν πάλαι Ἐρημιτῶν Βιογραφίαις ἱςόρηται, τὰς ἐν τῷ Ὄρθρῳ, καὶ πρὸς Ἑσπέραν εὐχὰς, Ἱερέως αὐτοῖς μὴ παρόντος, οὐχὶ τοῦ Ναοῦ ἐντὸς, κατὰ δὲ τὸ Αἴθριον τῆς Αὐλῆς εἰωθέναι προσᾴδεσθαι, διὰ τοῦτο καὶ νῦν ὁ Ἱερεὺς, τῷ τοιῷδε τύπῳ ςοιχῶν, ἐν τῷ τὸν μικρὸν Ἑσπερινὸν ἐκτελεῖσθαι, οὔτε Φελόνιον ἀμφιέννυται, οὐδ' εἰς τὸ Θυσιαστήριον εἴσεισιν.

§. 60.

§. 60.

Ἀϑὲν δὲ τὸ Φῶς ἱλαρὸν: ὁ μὲν Διάκονος Φωνεῖ: Πρόσχωμεν: ὁ δὲ Ἱερεὺς: Εἰρήνη πᾶσιν.

Ἐπὶ τοῖς δε τοῖς ῥήμασι, τῆς Ἱερᾶς ἤδη Γραφῆς ἀναγινώσκεσθαι ἀρχομένης, ὁ Ἱερεὺς τὴν εἰρήνην τοῖς παρεςῶσιν ἐπεύχεται, ἵνα διὰ τῆς παρὰ τȣ̃ Ἁγίȣ Πνεύματος ἐπιχορηγȣμένης χάριτος εἰρηνεύοντες, τοῖς ἀναγνωσθησομένοις ἀτενῶς προσέχωσιν· εἰς ȣ̃ δὴ τὴν ἀνάπτυξιν, ἄριςα φέρει τὸ ὑπὸ τȣ̃ Ἀποςόλȣ Παύλȣ εἰρημένον: Μηδὲν μεριμνᾶτε (λέγοντος) ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριςίας, τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ ἡ εἰρήνη τȣ̃ Θεȣ̃, ἡ ὑπερέχȣσα πάντα νȣ̃ν, φρȣρήσει τὴν καρδίαν ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν διὰ Ἰησȣ̃ Χριςῶ· (πρὸς Φιλιππησ: Κεφ: Δ΄. Ἐδαφ: 6. 7. Ὅρα καὶ Χρυσός: Ὁμιλ: ΙΔ΄.)

§. 61.

Καὶ ὁ Διάκονος ἐκφωνεῖ αὖθις: Σοφία! πρόσχωμεν· ἃ σωᾴδει τοῖς προεκπεφωνημένοις: Σοφία! Ὀρθοί.

§. 62.

Αὐτίκα δ' ὁ ταχθεὶς Ἀναγνώςης, σὺν αἰδοῖ τῇ προσηκȣ́σῃ, τῷ Προεςῶτι

τὴν

τὴν κεφαλὴν ὑποκλίνας, λέγει: Προκείμενον, καὶ τὰ ἔπη. Ὁ δὲ χορὸς, ψάλλει τὸ Προκείμενον τῆς ἡμέρας, ἐν ἤχῳ ϛ'. (πλ: β'.) ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. κτ: τοῦθ' ὅπερ Μάρκος μὲν ὁ Ἐφέσου οὕτως ἀναπτύσσει λέγων: Ὅτι: Προκείμενα μὲν ἐστὶ τὰ πρὸ τῆς Ἀναγνώσεως προλεγόμενα ἔπη τῆς Θείας Γραφῆς, τὰ πρὸς τὴν ὑπόθεσιν ἀνήκοντα τῶν Κεφαλαίων ἃ μέλλει ἀναγινώσκεσθαι· ὁ δὲ θεῖος Χρυσόστομος (ἐν Ὁμιλ: τῇ εἰς τὸν ΡΙΗ'. ψαλμ) Φησὶν: ὅτι καὶ ὁ λαὸς εἰωθὼς ἦν, ῥητόν τι ψαλμικὸν ἐπᾴδειν: οἷον τόδε: Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. (Ψαλμ: ΡΙΗ'. 24.) Καὶ ἐν Ὁμιλίᾳ δὲ Λϛ'. εἰς τὴν Α'. πρὸς Κορινθ: Διὰ τοῦτο καὶ ὁ ἀναγινώσκων μόνος φθέγγεται· καὶ ὁ τὴν ἐπισκοπὴν ἔχων ἀνέχεται σιγῇ καθήμενος· καὶ ὁ ψάλλων ψάλλει μόνος, κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στόματος ἡ φωνὴ φέρεται.

Ἐντεῦθεν δῆλον, τίνος ἕνεκα καὶ ἡ Ἐκκλησία διετάξατο πάλαι τὰ Προκείμενα λέγεσθαι· ἐπειδὴ γὰρ ἐν ταῖς ἑορτασίμοις τῶν ἡμερῶν προσῄδετο τὰ Ἀναγνώσματα τὰ ἐπὶ τὰς Παροιμίας ἀναφερόμενα, διὰ δὴ τοῦτο, καὶ ἐν αἷς ἡμέραις οὐδὲν τοιοῦτον ἐνεχώρει Ἀνάγνωσμα, Προκείμενά τινα ἐνᾴδεσθαι διατετύπωται, ἐπ' ἀναμ-

ἀναμνῆσαι δηλονότι τῶν ἐν τοῖς συνεξυφανθεῖσιν ὕμνοις τε καὶ κανόσι θείων ἔργων τε καὶ πραγμάτων, τῶν κατὰ τὴν ὑπόθεσιν προβαλλομένων. Ὁ μὲν οὖν Ἱερὸς Συμεὼν ὁ Θεσσαλονίκης τοιάδε περὶ τῶν Προκειμένων διείληφε. 1. Τὸ μὲν Ἑσπέρας τοῦ Σαββάτου προκείμενον ψάλλεται, τό· Ὁ Κύριος ἐβασίλευσε κτ· δι᾽ οὗ ἡ κατὰ τοῦ θανάτου νίκη, καὶ ἡ διά τῆς Ἀναστάσεως ἡμῖν ἀποκατασταθεῖσα ἀρχαία δόξα πανηγυρίζεται. 2. Καθεξῆς, τό: Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες οἱ δοῦλοι Κυρίου. δι᾽ οὗ ὑπομιμνησκόμεθα, κατὰ τὸ παράδειγμα τῶν μακαρίων πνευμάτων, ἀδιαλείπτως καὶ ἡμᾶς δεῖν τὰς τοῦ Θεοῦ αἰνέσεις ἀνακηρύττειν. 3. Τό· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν· Ἵνα τοῦ Προδρόμου τοῦ Κυρίου διαμνημονεύοντες, καὶ ἐν μετανοίᾳ ἐπιστρέφοντες, εἰσακούεσθαι παρὰ τοῦ Θεοῦ καταξιωθῶμεν. 4. Τὸ ἔλεός Σου Κύριε καταδιώξαι με κτ· δι᾽ οὗ, τὸν εἰς ἀπολύτρωσιν τοῦ ἀνθρωπίνου θεῖον καταγγέλλομεν οἶκτον. 5. Τὸ ὁ Θεὸς ἐν τῷ ὀνόματί Σου σῶσόν με κτ·, δι᾽ οὗ διδασκόμεθα, ὅτι τοὺς αὐτοῦ Ἀποστόλους ὁ Κύριος ἐξαπέστειλεν εἰς τὸ κηρύξαι τὸ ὄνομα αὐτοῦ. 6. Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ

τὴν γῆν· δι᾽ ȣ̃ ἡ ἐλπὶς ἡμῶν ἡ ἐν τῷ Κυρίῳ δηλȣ̃ται, τῷ ἐκ τȣ̃ ȣ̓ρανȣ̃ καταβάντι διὰ τὴν σωτηρίαν ἡμῶν. 7. τὸ: ὁ Θεὸς ἀντιλήπτωρ μȣ εἶ κτ: Ἴν᾽, ὥσπερ τȣ̀ς ἀντιλήψει Θεȣ̃ διασωθέντας πρὸ ὀφθαλμῶν ἔχομεν, ȣ̃τω βεβαίως ἐλπίζοιμεν, ὅτι καὶ αὐτοὶ τȣ̃ βίȣ ἀπελθόντες σωτηρίας ἐπιτευξόμεθα.

§. 63.

Ἀναγινώσκονται αἱ Παροιμίαι. Σημαίνει δὲ ἡ Παροιμία διήγημα ἀλληγορικὸν, τὸ κατ᾽ οἶμον, ἤτοι κατὰ τὴν ὁδὸν προβαλλόμενον· τȣτέςι, τὸ δι᾽ ὀνομάτων, ἀλλοτρίοις πράγμασι κυρίως προσανηκόντων, ὁποιονȣ̃ν τι ἐκφράζον. Ὁ μὲν ȣ̃ν Θεῖος Ἀθανάσιος ἐν τῇ Συνόψει: Ὠνομάσθη, φησὶ, Παροιμία, ἐπειδὴ παρὰ τὰς ὁδȣ̀ς ἐγράφοντο οἱ τοιȣ̃τοι λόγοι πρὸς διόρθωσιν καὶ διδασκαλίαν τῶν ἐν ταῖς ὁδοῖς διαπορευομένων. Ὁ δὲ Ἀλεξανδρείας Κύριλλος, (ἐν Βιβλ: ΙΑ΄. τῶν εἰς τὸν Ἰωάν:) Παροιμίαν εἶναι ἀπέδωκε, τὸν ἀμυδρότερον, καὶ ȣ̓ λίαν ἐμφανῆ λόγον. Τοιαῦται αἱ τȣ̃ Σολομῶντος εἰσὶ Παροιμίαι, ὧν, κατὰ τὰς τῶν ἑορταζομένων ἁγίων μνήμας, ἀναγινώσκεσθαι τὰ πλεῖςα εἰωθειῶν, ἐντεῦθεν καὶ τὰς ἀπὸ τῶν ἄλλων

λων τῆς Ἱερᾶς Γραφῆς Βιβλίων γινομένας Ἀναγνώσεις Παροιμίας ἐκράτησεν ἀποκαλεῖσθαι, ἅτε δὴ πρὸς τὸν αὐτὸν τεινούσας σκοπόν. Καὶ τοίνυν ὁ Διάκονος, πρὸ τοῦ τὰς Παροιμίας ἄρξασθαι ἀναγνωσθῆναι, φωνεῖ: Πρόσχωμεν: ὡς, διὰ τὸ ἀμυδρὸν καὶ συνεσκιασμένον, ἀτενεστέραν τὴν προσοχὴν τοῦ ἀναγνώσματος ἀπαιτοῦντος. Αἱ δὲ Παροιμίαι, ἅς περ κατὰ τὸ ἐπιὸν ἀναγνωστέον, ἀποσπᾶσθαι εἰώθασιν ἐκ τῶν τῆς θείας Γραφῆς Κεφαλαίων, τῶν ἔς τε ἔκθεσιν τῆς τῶν ἑορταζομένων αἰνέσεως τεινόντων, καὶ εἰς διδασκαλίαν τοῖς ἀκροωμένοις συμβαλλομένων.

§. 64.

Μετὰ τὴν τῶν Παροιμιῶν ἀνάγνωσιν; ὁ Διάκονος ἐξελθὼν λέγει τὴν Ἐκτενῆ: Εἴπωμεν πάντες κτ: ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ.

§. 65.

Τηνικαῦτα δὲ ὁ Προεστὼς, ἢ ὁ Ἀναγνώστης, διέρχεται τό: Καταξίωσον Κύριε ἐν τῇ Ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς, κτ: Ἡ δὲ εὐχὴ αὕτη λέγεται, 1. μὲν ὡς τῇ κατὰ τὴν ἑσπέραν εὐχῇ προσοικειουμένη εὐκαίρως. 2. δὲ, ἵνα τῶν Συναπτῶν ἡ ἑτέρα

 δια-

διαςέλληται ἀπὸ τῆς ἑτέρας. (ὅρα, Καθίσματα.)

§. 66.

Καὶ πάλιν ὁ Διάκονος: Πληρώσωμεν τὴν Ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. κτ:

Ἐν ταῖς τῶν Ἀποςόλων Διαταγαῖς (Βιβλ: Η΄. Κεφαλ: Λϛ΄. τετύπωται, τό: Ἄγγελόντε φύλακα ἡμῖν, καὶ τὴν τε ἑσπέραν, καὶ τὴν νύκτα εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτεῖσθαι.

§. 67.

Μετὰ τοῦτο ὁ Ἱερεὺς σὺν τῷ Διακόνῳ, ἀνημμένον φέροντι τὸ Θυμιατήριον, ἀπὸ τῆς Βορέου πλευρᾶς, δυοῖν λαμπαδούχων προπορευομένων, προέρχονται· οἷσπερ καὶ ὁ Χορὸς τῆς Ἐκκλησίας ᾄδοντες ἐφέπονται· καὶ οὕτως εὐτάκτως ἐπὶ τὸ αἴθριον, ἤτοι τὸ τοῦ Ναοῦ προαύλιον χωροῦσιν· ἔνθα τὴν ἰδίαν ἑκάςων χώραν καταλαβόντων, ὁ Διάκονος τάς τε Ἁγίας εἰκόνας, καὶ τὸν Ἱερέα, καὶ τοὺς Χορούς, ὡς ἔθος τιμῶν ἐπιθυμιᾷ· ὡς δ᾽ ἂν τὰ Τροπάρια, καὶ ἐπ᾽ αὐτοῖς τὸ Δόξα, καὶ Νῦν Θεοτοκίον μελῳδεῖσθαι λήξειε, φωνῇ γεγονωτέρᾳ, ὥςε ὑπὸ πάντων ἀκούεσθαι, ταύτην

τὴν ἀναπέμπει τὴν Δέησιν: Σῶσον ὁ Θεὸς τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ Οἰκτιρμοῖς. κτ:

§. 68.

Εἶτα τὰς κεφαλὰς ἀνεγείραντες ὑποκλινομένας ἤδη τοῦ Ἱερέως μυστικῶς εὐχομένου, εἰς τὸν Ναὸν ἅπαντες, τῶν λαμπάδων προηγουμένων, ἐπανίασι προσαδομένων μεταξὺ καὶ τῶν συνήθων Ἀναστασίμων Τροπαρίων ἐπὶ τοῖς ψαλμικοῖς ἔπεσιν: οἷον τὸ, ὁ Κύριος ἐβασίλευσε, κτ: Καὶ τά γε λαμπαδοῦχα ἔνθεν τε καὶ ἔνθεν τῆς Τραπέζης κατατίθεται μέσον κειμένης· ἐφ' ἧς σῖτος τε πρόκειται παρατεθεὶς, καὶ ἄρτοι πέντε τῶν εἰωθότων ἐν τῇ Ἐκκλησίᾳ προσφέρεσθαι. Καὶ δίσκος δὲ, καὶ ἐπὶ τοῦ δίσκου σκεύη δύο ἑκατέρωθεν· τὸ μὲν οἴνου πλῆρες, τὸ δ' ἐλαίου, τὸ ἐκ δεξιῶν.

Τετύπωται δὲ ὑπὸ τῆς Ἐκκλησίας τὴν Συναπτὴν, ἤτοι τὴν ἐκτενεστέραν ἱκετηρίαν, τὴν πρὸ τῶν ὕμνων ἀναγινωσκομένην, τὴν αὐτὴν καὶ αὖθις ἐν τέλει τῶν αὐτῶν ἐπιλέγεσθαι· τὸ γὰρ κεφάλαιον τῶν κατ' ἀρχὰς ᾀδομένων, καὶ κατὰ τὸ

περας

πέρας τȣ̃ Ἑσπερινȣ̃ ἄσματος ἐπαναλαμβάνεται.

§. 69.

Καὶ δὴ ὁ Προεςὼς λέγει τό: Νῦν ἀπολύεις κτ: μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ Ἱερεὺς: Ὅτι Σȣ̃ ἐςὶν ἡ Βασιλεία κτ:

Περὶ δὲ τȣ̃ Ὕμνȣ τȣ̃δε τȣ̃ Συμεῶνος, ὃς διετάχθη ἐν τῇ Ἑσπερινῇ εὐχῇ λέγεσθαι, ὅρα ἐν ταῖς τῶν Ἀποςόλων Διαταγαῖς Βιβλ: Ζ΄. Κεφ: ΜΗ.

§. 70.

Ὁ δὲ χορὸς ᾄδει ἐκ τρίτȣ τὸ Ἀπολυτίκιον Τροπάριον: Θεοτόκε Παρθένε, κτ: κατ' ἦχον τὸν διατεταγμένον. Καὶ τότε ὁ Διάκονος εὐλογίαν παρὰ τοῦ Ἱερέως αἰτήσας, θυμιᾷ κύκλωθεν τὴν Τράπεζαν ςαυροτύπως· εἶτα τὸν Ἡγȣ́μενον ἐν ἰδίῳ τόπῳ ἱςάμενον, καὶ τὸν Ἱερέα, καὶ πάλιν τȣ̀ς Ἄρτȣς ἔμπροσθεν μόνον. Ὁ δὲ Ἱερευς, εἰτ' ȣ̃ν καὶ ὁ Ἡγούμενος, τρανῇ τῇ φωνῇ λέγει τὴν εὐχὴν: Κύριε Ἰησȣ̃ Χριςὲ, ὁ εὐλογήσας τȣ̀ς πέντε Ἄρτȣς, καὶ ἐξ αὐτῶν πεντάκις Χιλίȣς χορτάσας κτ: (Ὅρα τὴν τελεςικὴν Διατύπωσιν, τὴν περὶ τῆς Παναγίας.)

Ἐπεὶ

Ἐπεὶ δὲ τὰς Ἀγρυπνίας, ἀφ' ἑσπέρας ἄχρι πρωΐας παρατείνειν εἰώθεσαν, διὰ τῦτο τοῖς ἐν τῷ Ναῷ διανυκτερεύϩσι, τῶν ὕμνων τῶν Ἑσπερινῶν περανθέντων, ἄρτος τε καὶ ὄινος, καὶ ἔλαιον, πρὸς ἐνίχυσιν διενέμετο· τῦθ' ὅπερ ἤδη ἐν τοίς Μοναςηρίοις ἐπικρατεῖ γίνεσθαι, ὁπότε δεῖπνον ϩ παρατίθεται· τὸ δὲ δὴ μεταξὺ, ἐκ τῆς Θείας Γραφῆς, ἢ ἐκ τῦ Σωαξαρίϩ, ἀπὸ τῆς τῶν Ἁγίων Βιογραφίας Ἀνάγνωσις γίνεται. (Κασσιαν. Βιβλ: Γ'. Κεφαλ: Η'. καὶ Θ'.)

Τοῦ δὲ δὴ ἔθϩς τῦδε ἡ ἀρχαιότης ἐκ τῶν ὑπομνημάτων τῶν θεσπεσίων Πατέρων ϩκ ἄδηλος. Ναζιανζηνὸς γὰρ περὶ Νόννης τῆς ἰδίας Μρ̃ς διέξεισιν, ἐν ψαλμῳδίαις ἀγρύπνοις οἱονεὶ ςήλην πεπηγέναι, εἶτα, καί ποτε ἀσθενήσασαν, καὶ κινδυνεύϩσαν ἐξ ἀτροφίας, τῇ χρήσει τῶν ἄρτων ἐπαναῤῥωσθῆναι, οὓς αὐτὸς ἐν ὕπνοις ἔδοξεν αὐτῇ προσφέρειν, σφραγίσας πρότερον (ὥσπερ φίλον ἡμῖν φησὶ) καὶ προεπευξάμενος· (ἐν Ὁμιλ: ΙΘ'. τῇ εἰς τὸν ἑαυτῦ πατέρα.) Ὁ δὲ Θεῖος Χρυσόςομος ἐπιςωμίζων τὸ ἔθος, καὶ τὸν Ἀπόςολον παρίςησι Παῦλον, (Πράξ: Κ'. Ὁμιλ: ΜΓ.)

τοῖς

Τοῖς πιςοῖς προσδιαλεγόμενον εἰς ταυτὸ συνελθοῦσιν ἐπὶ τῇ κλάσει τοῦ ἄρτου· ὅτε καὶ τὸν λόγον (φησὶ) παρέτεινε μέχρι μεσονυκτίου· Ὁ δ᾽ αὐτὸς καὶ ἄλλοθι τῷ πράγματι ἐπασμενιζόμενος, (ἐν Ὁμιλ: ΙΗ΄. τῇ εἰς τὸ Ζ΄. τῶν Πράξ:) ἡλίκον ἐςὶ (φησὶ), μετὰ τὴν αἰώραν τὴν σωματικὴν, καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγενέσθαι; ὁμοτράπεζόν τε ἔχειν τὸν Ἱερέα συνομιλοῦντα; εὐλογίας ἀπολαύειν; ἑτέρους ὁρᾷν ἐρχομένους ἐκεῖ;

§. 71.

Ἔπειτα ὁ Ἱερεὺς ἐκχωρήσας ἵςαται πρὸ τῶν ἱερῶν πυλῶν, πρὸς δυσμὰς βλέπων, καὶ τοῦ ψαλμοῦ πληρωθέντος ἔυχεται λέγων: Εὐλογία Κυρίου ἐφ᾽ ὑμᾶς κτ: Καὶ ὁ Ἀναγνώςης: Ἀμὴν. Καὶ αὐτίκα τὸ προοίμιον τῆς Ἀναγνώσεως προφέρει, ἧς προτάττει ὁ Ἱερεὺς τὴν Εὐχὴν: Δι᾽ εὐχῶν τῶν Ἁγίων πατέρων ἡμῶν, Κύριε κτ: Μετὰ δὲ ταῦτα ὅ,τε Ἱερεὺς καὶ ὁ Διάκονος, τὰς ἱερὰς ςολὰς ἀποθέντες, καὶ τοῦ Θυσιαςηρίου ἐξελθόντες, τὰς ἰδίας ςάσεις καταλαμβάνουσι. Τῆς δὲ διεξοδικῆς Ἀναγνώσεως ἀπὸ τῶν Ἀποςολικῶν Πράξεων ἐκπερανθείσης, ὁ Παραμονάριος ἀπελθὼν κρούει τοὺς Κώδωνας.

Παρα-

Παρατείνεται δὲ τὰ τῆς Ἀναγνώσεως, εἰς ὃ τῶν εὐλογηθέντων Ἄρτων, καὶ τοῦ οἴνου μετάσχωσιν οἱ παρόντες, οὐκ ἄνευ εὐπροσδέκτων ἐννοιῶν τε καὶ ἐνθυμήσεων, ὑπὲρ ὧν ἀγαθῶν εἰς κόρον παρὰ Θεοῦ ἀπολαύουσιν.

§. 72.

Ἐπειδὰν δὲ ἡ Ἀγρυπνία οὕτω διαταχθείη τελεῖσθαι, ὡς τὸ μὲν Λυχνικὸν ἑσπέρας περαίνεσθαι, τὸν δὲ ὄρθρον περὶ τὸ πρωῒ ἀναβάλλεσθαι, τότε δὴ πληρωθείσης τῆς Ἑσπερινῆς ψαλτῳδίας, τὸ μικρὸν Ἀπόδειπνον ἀναγνωστέον, ἐν ᾧ καὶ αἱ εὐχαὶ τοῖς ἀπιοῦσιν εἰς ὕπνον εἰώθασιν ἐπαναγινώσκεσθαι. Ἡ δέ τοιαύτη τοῦ μικροῦ Ἀποδείπνου ἀκολουθία, ὁμοίως ταῖς Κανονικαῖς ὥραις διατετύπωται· τουτέστι: τριῶν ψαλμῶν προαναγινωσκομένων κτ: Ἐπεὶ δὲ κατὰ τὰς Ἑορτὰς τῶν τε Χριστοῦ Γενεθλίων, καὶ τῶν Θεοφανίων, καὶ τοῦ Εὐαγγελισμοῦ, αἱ Ἑσπεριναὶ δεήσεις, οὐχὶ τὸ ἑσπέρας τῆς προηγουμένης νυκτὸς, ἀλλ᾽ ἐν αὐτῇ τῇ ἑορτασίμῳ ἡμέρᾳ, πρὸς ἑσπέραν ὑποκλινούσῃ ἀεὶ μονονουχὶ, πρὸ τῆς Λειτουργίας ἐπιτελεῖσθαι φιλοῦσι· ταύτῃ δέ τοι οὐκ ἔχουσι τῇ τοῦ ὄρθρου

ἀκολου-

ἀκολυθία συνάπτεσθαι. Τοιγαροῦν ἐφ᾽ ᾧ, τὰς οὕτως ἐπισήμως ἑορτίους ἡμέρας, ἀγρυπνιῶν ἀμοίρους μηδαμῶς ἀπολείπεσθαι· καὶ ἵνα καί τις ἀναβολὴ, διὰ τῶν Ἀναγνωσμάτων τῶν ἁρμοζόντων συνανακεραννυμένων, προμνηστευθείη τῷ πράγματι, τῶν κατ᾽ ἔθος Ἀποδειπνίων ἡ ἀπόδοσις εἰς τέσσαρα διῄρηται μέρη: τούτων ἑκάστου τρεῖς περιεχόντων ψαλμοὺς, καί τινας μεταξὺ ἱκεσίας παρεντιθεμένας, πρὸς τύπον τῆς τῶν Ἀποδείπνων διατάξεως.

§. 73.

Τόδε τὸ Ἀπόδειπνον ἐν ταῖς ἐπισήμοις τῶν ἑορτῶν περαίνεται διὰ τῆς Δοξολογίας. Αἱ γὰρ ἐπικοίτιοι δεήσεις, ἤτε: Ἄσπιλε, Ἀμόλυντε κτλ., καὶ ἡ Δὸς ἡμῖν Δέσποτα κτ: οὐκ ἀναγινώσκονται· διὰ τὸ μετὰ τὰς ἀποδειπνίους εὐχὰς ἐχομένως αὐτίκα τὰ τῆς Ἀγρυπνίας ἐνάρχεσθαι. — Ἐν δὲ δὴ ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Βιβλ: Ζ΄. Κεφαλ: ΜΗ΄. ἡ Ἑσπερινὴ προσευχὴ καλεῖται Δοξολογία.)

§. 74.

Τελεῖται δὲ ἡ τοῦ Ἀποδείπνου αὕτη Ἀκολουθία ἐν ὥραις τεταγμέναις, τῆς

Μεγά-

Μεγάλης μάλιςα Νηςείας ἐνιςαμένης. Ἐπεὶ δ᾽ ἔτις ἑτέρα τελετὴ ταύτῳ ἐκδέχεται, ἣν τοιαῦτα δεῖ προσαναβαλέσθαι, διὰ τἆτο ταῖς αὐταῖς, αἷς καὶ τὸ μικρὸν Ἀπόδειπνον, εὐχαῖς ἐπιτερματίζεται· παρ᾽ ὅσον ἀντὶ τῶν βραχυτελῶν Τροπαρίων, τῶν ἐν ταῖς ἄλλαις ἡμέραις ἐπιλέγεσθαι εἰωθότων, ψάλλεται τό: Κύριε τῶν δυνάμεων μεθ᾽ ἡμῶν γενᾶ κτ: ὡς μάλα προσῆκον ἐν ἡμέραις νηςείας ἐπᾴδεσθαι.

§ 75.

Ἐπειδὴ δὲ ἐν ἡμέραις μὴ ἑορτασίμοις, ἡ καθ᾽ ἑσπέραν ἀκολουθία της ἐν τῷ ὄρθρῳ διαςελλομένη χωρίζεται· οἱ δὲ Ἀναχωρηταὶ, καὶ οἱ ἐν τοῖς Μοναςηρίοις βιοτεύοντες, νυκτὸς ὀφείλουσι βαθείας εἰς προσευχὴν ἐξεγείρεσθαι· διὰ τοῦτο καὶ πρὸς τὴν τοῦδε τοῦ καθήκοντος ἐκπλήρωσιν, τοῦ καὶ ἐν μέσῳ τῆς νυκτὸς δηλονότι ἐν εὐχαῖς καὶ ψαλμῳδίαις σχολάζειν· ἡ μέθοδος διῳκονόμηται, καθ᾽ ἣν, τὸ ΙΖ. τοῦ ψαλτῆρος Κάθισμα, ἐν δὲ Σαββάτῳ τὸ Θ΄. διετάχθη ἀναγινώσκεσθαι· Ἀλλ᾽ ὅτι γὰρ τὸ λοιπὸν πλῆθος τῶν πιςῶν, ὡς παντοδαπαῖς μερίμναις τε καὶ

καμά-

καμάτοις ἀπαγορεύοντες, ἐν νυκτὶ βαθείᾳ τὸν ὕπνον ἀποσείσαθαι, καὶ Θεῷ τὴν ὀφειλὴν ἀποτίσαι ταύτην, ἐχ οἷοι τε εἰσὶ τέτε δὴ χάριν ὥρισαι τὰς μεσονυκτίες τάυτας ἐυχάς τε καὶ ψαλμῳδίας πρὸ τῆς τῶν ὀρθρινῶν ὕμνων ἀκολεθίας τῷ Θεῷ ἀποδίδοθαι.

---

## ΠΕΡΙ ΤΗΣ

## τῶν Θείων ὕμνων τε καὶ Ἱκεσιῶν κατ' ὄρθρον Ἀκολεθίας.

### §. 76.

Εἰσελθὼν ὁ Ἱερεὺς ἔνδον τε Ἁγίε Θυσιαςηρίε ἀναλαμβάνει τὸ Ἐπιτραχήλιον· καὶ τῦτο φορέσας, καὶ λαβὼν Θυμιατήριον παρὰ τε Παραμοναρίε, πρόεισι θυμιᾷν τὴν Ἱερὰν Τράπεζαν· καὶ κατενώπιον ἔςως, καὶ ςαυρὸν τῷ Θυμιατηρίῳ τυπώσας, λέγει: Ἐυλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἐν ᾧ δὴ, τῆς μεταξίνης συςαλείσης Αὐλαίας, τῆς ἔσωθεν τῶν Ἱερῶν πυλῶν παραπεπετασμένης, τέως καὶ τὴν ἱερὰν Τράπε-

Τράπεζαν, καὶ τὴν Πρόθεσιν, καὶ τὸ Θυσιαςήριον ὅλον περισεβασάμενος, ἀπὸ τȣ̃ Βορείου κλίτȣς ἐξέρχεται· κὶ τὰς Ἱερὰς εἰκόνας, καὶ μὲν δή τόν τε Προεςῶτα, κὶ τȣ̀ς Χορȣ̀ς, καὶ τȣ̀ς παριςαμένȣς ἅπαντας ὡσαύτως, ἧπερ ἔθος δίεισιν· Ὁ δ' Ἀναγνώςης ἀκȣ́σας τὸ: Εὐλογητὸς ὁ Θεὸς: ἀποκρίνεται: Ἀμήν. Πρόεισι δὲ: Δεῦτε Προσκυνήσωμεν κτ:, κὶ τȣ̀ς ἐν ἔθει ἀναγινώσκει ψαλμοὺς: Ἐπακȣ́σαι Σȣ Κύριος ἐν ἡμέρᾳ θλίψεως κτ: Καὶ: Κύριε ἐν τῇ δυνάμει Σȣ εὐφρανθήσεται ὁ Βασιλεὺς κτ: Καὶ τὸ Τρισάγιον, καὶ τὸ Πάτερ ἡμῶν· Καὶ τὰ Τροπάρια: Σῶσον Κύριε τὸν λαόν Σȣ κτ: Ὁ δὲ Ἱερεὺς αὖθις, τόν τε Προεςῶτα, καὶ τὰς Ἁγίας εἰκόνας τῷ θυμιάματι ἐπισεβασθεὶς, εἴσεισι διὰ τῆς Νοτίȣ Πύλης εἰς τὸ Ἱερὸν Βῆμα· ἔνθα πρὸ τῆς Θείας Ττραπέζης ἑςὼς μετὰ τȣ̃ Θυμιατηρίȣ, λέγει τὴν Ἐκτενῆ ἤτοι τὴν δέησιν: Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σȣ, δεόμεθάΣȣ κτ: Καὶ παραχρῆμα ἐπεκφωνεῖ: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις κτ: Ὁ δὲ Χορὸς: Ἀμήν. Ἐν ὀνόματι Κυρίȣ, Πάτερ εὐλόγησον.

Ἀρχομένης τῆς Ἀκολȣθίας ταύτης, περιθυμιᾶσθαι τὸν Ναὸν διατέτακται·

Ὡς

Ὡς δ' ἂν μὴ ὁ καιρὸς σιγῇ παρέρχοιτο ἄνευ Ἀναγνώστεως, ὥρισαι εἰκότως προοιμιάζεσθαι τὸν Ὄρθρον ἐκ τῶν ψαλμῶν τούτων· ἐν οἷς καὶ λιτὰς μεταξὺ προσάγεσθαι τὰς ὑπὲρ τοῦ Βασιλέως, ὅπως ἂν ἡμῖν αὐτὸν περιφρουροίη Θεὸς, πρόξενον τῇ Ἐκκλησίᾳ γινόμενον γαλήναίας καὶ εἰρηνικῆς καταστάσεως· Ἔνθεντοι καὶ μετὰ τοὺς εἰρημένους ψαλμοὺς Τροπάρι ἄττα ἐξάδεται, καὶ Ἐκτενὴς γίνεται, Ἀναγινωσκομένου δὲ τοῦ Ἐξαψάλμου σιγὴ βαθεία τηρεῖται·

§. 77.

Ὁ μὲν οὖν Ἱερεὺς, ἐν ὑψηλῇ τῇ Φωνῇ κράζει Δόξα τῇ Ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Καὶ ὁ Χορός: Ἀμὴν.

§. 78.

Τοῦ δὲ Προεστῶτος, καὶ τῶν λοιπῶν Ἀδελφῶν ἀνορθωθέντων, ἄρχεται: Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ἀπὸ γοῦν τῶν τριῶν προτέρων ψαλμῶν, τὴν καταρχὴν ὁ Ὄρθρος λαμβάνει, ὡς ἐν οἷς, ἥτε ἐπὶ τοῖς προεξημαρτημένοις μετάνοια, καὶ αἱ χαριστήριοι ἐξομολογήσεις

λογήσεις αἱ πρὸς Θεὸν ἐμπεριλαμβάνονται, καὶ ἄλλαι δέτινες ἱκεσίαι τε καὶ δεήσεις, αἱ τῇ Ὀρθρινῇ ἀκολουθίᾳ προσεφαρμόζουσαι.

§. 79.

Μετὰ τοὺς τρεῖς ψαλμοὺς, ὁ Ἱερεὺς τῇ κεφαλῇ ἀπερικαλύπτῳ πρὸ τῶν Ἁγίων θυρῶν ἱστάμενος, ἀναγινώσκει τὰς τοῦ Ὄρθρου εὐχὰς· ὡς ἐκ τοῦ λαοῦ δηλονότι τὰς εὐχαριστίας Θεῷ προσάγων.

§. 80.

Τοῦ Ἑξαψάλμου ἤδη ἀναγνωσθέντος, καὶ τῆς Δοξολογίας τῆς μικρᾶς καλουμένης ἀποδοθείσης, ἐπιλέγει τὴν μεγάλην Συναπτήν: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτ: μετὰ δὲ τὴν Ἐκφώνησιν: ἀπελθὼν ἐπικαταλαμβάνει τὸν τόπον τὸν ἴδιον. (Ὅρα Ἐκτενής.)

§. 81.

Τότε δ᾽ ὁ ταχθεὶς Ἀναγνώστης, ὁ καὶ ἐπὶ τοῦ Ἑσπερινοῦ προφωνῶν τὰ Προκείμενα τὰ κατ᾽ ἔθος, λέγει: Θεὸς Κύριος.

Περὶ τοῦ Προκειμένου γράφων Συμεὼν ὁ Θεσσαλονίκης (ἐν Κεφαλ. 309.) φησὶν, ὅτι δι᾽ αὐτοῦ ἐκδηλοῦται ἡ τοῦ Κυ-

ρίȣ ἡμῶν εἰς τὸν Κόσμον ἐπιδημία. Ἡμεῖς δὲ τῇ τȣ̃ ψαλμȣ̃ Ἀναγνώσει, ὡς λόγῳ Θείῳ πιςεύοντες, τὴν αὐτȣ̃ τȣ̃ Θεοῦ ἐπιφάνειαν ἐννοȣ̃μεν, καὶ ȣ̓κ ἄλλως, ἤ ὡς ἐπιφοίτησιν ταύτην τῆς θείας αὐτȣ̃ ἡγȣ́μεθα χάριτος. Τὸ γοῦν Προκείμενον τȣ̃το, πρὸ τȣ̃ ἀναγινώσκεσθαι μέλλοντος Ψαλτηρίȣ, οἷα δὴ καὶ τὰ ἄλλα τὰ πρὸ τῶν ἐκ τῆς ἱερᾶς Γραφῆς Ἀναγνωσμάτων Προκείμενα, ψάλλεται.

Ὁ Θεῖος Χρυσόςομος (εἰς τὸν ΡΛΖ Ψαλμ:) τοὺς Ἱερεῖς, φησὶ τῶν Ψαλμῶν προκατάρχεσθαι ᾄδοντας· τὸν δὲ λαὸν ἀποκρινομένȣς παρομαρτεῖν· τȣτέςι τὰ τῶν ςίχων ἐπιτελεύτια σιωυπηχεῖν.

§. 82.

Καὶ ψάλλεται Τροπάριον, τῆς τȣ̃ Χριςȣ̃ Ἀναςάσευς τὴν ἀνάμνησιν περιέχον· Καὶ Δόξα, τȣ̃ Ἁγίȣ τῆς ἡμέρας· Καὶ νῦν, Θεοτοκίον, κατ᾽ ἦχον τὸν αὐτὸν.

Ἐπειδὴ καθ᾽ ἑκάςην ἡ Ἐκκλησία διέταξεν, ἐπιδιαμνημονεύεσθαι δεῖν, ἤτοι τὰς παρὰ Θεȣ̃ γινομένας ἡμῖν εὐποιΐας, ἤ καὶ τὰ τῶν Ἁγίων ἅπερ ἤθλησαν ἀγωνίσματα, διὰ τȣ̃το ϗ ἡ τῶν ψαλμῶν

ἀνάγνω-

ἀνάγνωσις, διὰ Τροπαρίων τινῶν, τῶν πρὸς τὴν τοιάνδε πρόθεσιν ἀραρότων, ἀπάρχεσθαί τε καὶ διαστέλλεσθαι εἴωθε.

§. 83.

Θᾶττον δ' ὁ Χορὸς ἐπιλέγει τὸ: Κύριε ἐλέησον τρὶς· Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι κτ: καὶ τὰ Καθίσματα τοῦ ψαλτῆρος στιχολογεῖται. (ὅρα Κάθισμα.)

§. 84.

Πληρουμένης δ' ἑκάστης τῶν συνήθων ψαλμῶν Ἀναγνώσεως, ὁ Ἱερεὺς λέγει τὴν μικρὰν Συναπτήν: Ἔτι καὶ ἔτι κτ, καὶ τὴν εἰωθεῖαν ποιεῖται Ἐκφώνησιν: (Ὅρα Συναπτή.)

§. 85.

Ὁ δὲ Χορὸς ᾄδει τὰ Τροπάρια τοῦ Καθίσματος.

Καλεῖται δὲ Τροπάρια τοῦ Καθίσματος, ἢ καὶ ἁπλῶς Καθίσματα ταῦτα, πρῶτον μὲν, ὅτι μετὰ τὸ ἐκπερανθῆναι μέρος τι τοῦ Ψαλτηρίου, διώρισται Ἀνάγνωσιν γίνεσθαι, ἐν ᾗ ἂν καθέζοιντο οἱ τῇ Ἀκροάσει σχολάζοντες. Δεύτερον δὲ, ὅτι καὶ αὐτοὺς τοὺς ψαλτῳδοὺς, καθεζομένους ἐφεῖται ᾄδειν, ὡς ἐν ἀναπαύλῃ, τὰ τοιάδε Τροπάρια. (Ὅρα, Κάθισμα.)

Ἡ ἐν Λαοδικείᾳ Σύνοδος, (Καν: ΙΖ΄.) Πλείονας ψαλμὲς ἀναγινώσκεσθαι ἐχομένως ἀπαγορέυει, μεταξὺ δ᾽ ἑκάστων ψαλμῶν θεσπίζει ἀνάγνωσιν γίνεσθαι.

§. 86.

Μετά δὲ τὰ τῶν Καθισμάτων Τροπάρια, ψάλλομεν τὸν ΡΙΗ. ψαλμὸν: Μακάριοι οἱ ἄμωμοι. κτ: ἐν ἤχῳ Ε΄. (ἤτοι Πλ. Α΄.) τὲ Ἱερέως, τὸ μεταξὺ, τὸν Ναὸν ἐπιθυμιῶντος.

§. 87.

Ἐν δὲ ταῖς Ἑορταῖς ἀναγινώσκονται μελῳδικῶς οἱ ψαλμοὶ: ΡΛΔ΄. καὶ ΡΛΕ.

Τὸ τὲ Ψαλτῆρος ΙΖ΄. Κάθισμα, καθ᾽ ἑκάστην ἡμέραν διετετύπωτο παρ᾽ Ἑβραίοις ἀναγινώσκεσθαι· ὅν δήπε τύπον, ὡς μηδὲν τῇ τὲ Σωτῆρος Διδασκαλίᾳ ἀντιφερόμενον, καὶ ἡ τὲ Χριςὲ Ἐκλησία ἐξ ἀρχῆς διατηρεῖσθαι ἐπέτρεψε. Διέταξε δὲ, τὸ Κάθισμα, ἐν μὲν ταῖς λοιπαῖς ἡμέραις λέγεσθαι ἐπὶ τὲ Μεσονυκτικὲ· ἐν δὲ δὴ ταῖς Κυριωνύμοις (ἐπεὶ ἀντὶ τέτε ὁ Κανὼν ᾄδεται ὁ Τριαδικὸς.) ἐπ᾽ αὐτὲ τὲ ὄρθρε ἀναγινώσκεσθαι· ἵνα δηλονότι, τὸ καθ᾽ ἡμέραν πᾶσαν ἀναγνωςέον, ἐδ᾽ ἐν ταύταις ὅλως παραλειφθείη·

θείη· Ὅτε δὲ Ἀγρυπνίαι τελῶνται, ἤ, καὶ ἡ τῶ ἑορταζομένω Ἁγίω μνήμη γεραίρεται, τῆς τῶν ἐν Ἁγιότητι διαπρεψάντων εὐφημίας ὠκ ἄλλως, ἢ εἰς δόξαν τῶ αὐτὼς δοξάσαντος ἀναφερομένης· τότε δὴ, ἀντὶ τῶ ΙΖ΄. Καθίσματος, οἱ τῶ ΙΘ΄. δύο πρῶτοι ψαλμοὶ: ὅ, τε ΡΛΔ΄. καὶ ὁ ΡΛΕ΄. εἰώθασιν ᾄδεσθαι.

§. 88.

Τὸ δὲ τῶν εἰρημένων ψαλμῶν μελῴδημα, ἐν τῷ Τυπικῷ Βιβλίῳ καλεῖται ὁ Πολυέλεος, (ἢ Πολυέλαιος·) Τῶ ὀνόματος, εἴτε ἀπὸ τῶ συνεχῶς ἐν τοῖς ψαλμοῖς διαμνημονευομένω τε καὶ ἐξυμνωμένω θείω Ἐλέως· Εἴτε δὲ, καὶ ἀπὸ τῶ πολλοῦ Ἐλαίω, τῶ ἐπὶ ταῖς λαμπάσι δαψιλῶς ἐπιχεομένου, ταῖς τῳοιαῦτα εἰωθείαις καίεσθαι· (Ἀθανάσ: ἐν Β΄. τῶν Ἀπολογητ: Σελ: 717.)

§. 89.

Τῶν δ᾽ ἡμερῶν τῆς Μεγάλης Νηςείας ἐπιωσῶν, καὶ ὁ ΡΜϚ΄. ψαλμὸς, τρίτος ἐπὶ τοῖς δυσὶ προσεπᾴδεται: Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν κτ: τοιᾷδε δὴ τῇ προθέσει: ἵνα τῆς τῶ Θεῶ Πόλεως, ἤτοι τῆς οὐρανίω πατρίδος

αὐτȣ̃ ἧς ἐκπέπτωκεν, ὁ ἄνθρωπος ἀναμιμνησκόμενος, καὶ τὴν ἐκ τῆς ἁμαρτίας ἐπιμνησευθεῖσαν αὐτῷ δεινὴν αἰχμαλωσίαν ἀναπεμπάζων, σπȣδαιότερον ὕτω πρὸς μετάνοιαν, τὴν ἐπὶ τοῖς πεπλημμελημένοις αὐτῷ διεγείροιτο.

§. 90.

Ἐπὶ τȣ́τοις τὰ Τροπάρια: Τῶν Ἀγγέλων ὁ δῆμος κτ: Ταῦτα δ᾽ ἀναμέλπȣσα ἡ Ἐκκλησία, αὐτὸν ἐςὶ μαρτυρȣ̃σα τὸν Ἰησȣ̃ν Χριςὸν ἐκ νεκρῶν ἀναςῆναι· καὶ ζῶντα τοῖς Μαθηταῖς, καὶ ταῖς ὁσίαις γυναιξὶν ἐποφθῆναι.

§. 91.

Τȣτωνὶ δὲ τῶν Τροπαρίων ᾀσθέντων, λέγεται ἡ Ὑπακοή, καὶ ἐφεξῆς Ἀνάγνωσις γίνεται. Ἡ Ὑπακοὴ δὲ, σημαίνει τὴν μετὰ προσοχῆς ἀτενεςέρας ἀκρόασιν· ᾗ τὸ Τροπάριον ὕτω καλεῖται, ἅτε ἐπὶ τὸ ἀπερισπάςως ἀκροάσεσθαι ἐπιβαλλόμενον διεγείρειν τȣ̀ς παρεςῶτας πρὸς τὴν μετὰ τὰ Ἀντίφωνα γενησομένην ἐξῆς Ἀνάγνωσιν.

§. 92.

Ἀκολȣ́θως δὲ τὰ τῶν Ἀναβαθμῶν Ἀντίφωνα.

Καὶ

Καὶ ὁ μὲν Ποιητὴς τῶν Ἀναβαθμίων τούτων Ἀντιφώνων, ὁ Θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς γενέσθαι νενόμισαι, ὁ κατὰ τὸν Αἰῶνα ἀκμάσας τὸν Η. Ὁ γε μὴν τύπος τοῦ ἐπαλλὰξ ἀντιφωνεῖν τὰ μελπόμενα, ἐπὶ τὸν Θεοφόρον Ἰγνάτιον ἀναφέρεται· (Βασίλ: ὁ Μέγ: Ἐπις: ΞΓ΄. Πρὸς Νεοκαισαρ: Καὶ ὁ Ναζιανζ: ἐν Ἰαμβ: ΙΗ΄. Τόμ: Β΄. τῶν Συγγρ: Σελ: 218. περὶ Ταπεινοφροσ: Σωφροσ: καὶ Ἐγκρατ: Καὶ Ἀμβρόσ: εἰς τὴν Ἑξαήμερ: Βιβλ: Γ΄. Κεφ: Ε΄. Καὶ ὁ Σωαξαριστὴς εἰς τὸν Βίον τοῦ Ἱεροῦ Ἰγνατίου. Καὶ Νικήτ: Περὶ Πίσ: Βιβλ: Ε΄. Κεφ: Λ.) (Ὅρα καὶ Ἀντίφωνα.)

§. 93.

Ἐν τούτοις ὁ Παραμονάριος ἀπερχόμενος ἐπανακρούει τοὺς Κώδωνας.

Ὅτι καιρὸς, τοῦ τὴν Θείαν Δοξολογίαν, καὶ τὰ τῶν Ἁγίων ἐφύμνια μέλλειν ᾄδεσθαι, διὰ τῆς τῶν Κωδώνων ἐπανακρούσεως διαμηνύεσθαι εἴωθεν, ἵνα καὶ οἱ οἰκοῦντες εἰς εὐχαριστίαν διεγείροιντο τὴν πρὸς Θεὸν, τὸν ἐκ τῶν ἁμαρτιῶν, καὶ τοῦ θανάτου, καὶ τοῦ Ἅιδου ἡμᾶς ἐκλυτρούμενον. Καὶ τοίνυν ἅπαντες οἱ ὑπολειφθέν-

λειφθέντες οἴκοι παῤ ἑαυτοῖς, τῆς τοιᾶς δε ἠχῆς ἐπακέσαντες, ὀφείλειν περὶ τέτο σπεδάζειν εὖ ἴςωσαν, ὅπως ἄν τῶν Θείων ἀναμιμνησκόμενοι ἐυεργετημάτων, καὶ πρὸς τὴν τε Θεε ἀγάπην ἐκ ψυχῆς κινέμενοι, καὶ προσπίπτοντες ἐπὶ τε ἐδάφες, Χριςῷ λατρέυωσι τῷ ἐξαναςάντι, καὶ ἡμᾶς ὡσαύτως ἀνακαλεσομένῳ ἐκ τε θανάτε πρὸς ζωὴν ἀτελεύτητον. Ἅμα δὲ καὶ τῶν Ἁγίων τὰ σκάμματα διενθυμέμενοι καὶ παλαίσματα, κατὰ μίμησιν τὴν ἐκείνων καὶ αὐτὲς ἑτοίμες εἶναι παρασκευάζωσιν.

§. 94.

Ὁ δὲ Ἱερεὺς καὶ ὁ Διάκονος εἰς τὸ Ἁγιαςήριον εἰσελθόντες, ἑαυτὲς ᾗ προσῆκον ἐςὶν, ἐνδιδύσκεσιν.

Ἡ γὰρ τῶν Ἐυαγγελίων ἐπ' Ἐκκλησίας ἀνάγνωσις, Ἱερεῦσι τε καὶ Διακόνοις μόνοις ἐπανατίθεται· διὸ καὶ τέτες εἰκὸς ταῖς προσηκέσαις περιβολαῖς ἀμφιέννυσθαι.

§. 95.

Εἶτα φησί: Πρόσχωμεν, Σοφία. ὁ δ' Ἀναγνώςης λέγει τὸ Προκείμενον.

Ἀείπο-

Ἀείποτε πρὸ τῆς Ἀναγνώσεως τῆς Ἱερᾶς Γραφῆς προφωνεῖσθαι εἴωθε τὸ: Σοφία: δι' ȣ̔ δηλȣ̃ται θεῖα, εἶναι τὰ ῥήματα, ἃ μέλλει ἀναγινώσκεσθαι. Καὶ τὸ: Πρόσχωμεν: ἵν' οἱ παρεστῶτες παρεσκευασμένοι ὦσιν, ἐπὶ τὴν τῶν ἱερῶν λογίων ἀκρόασιν.

§. 96.

Τῆς τȣ̃ Εὐαγγελίȣ Ἀναγνώσεως πληρωθείσης, λέγεται ᾀσματικῶς τὸ: Ἀνάστασιν Χριστȣ̃ θεασάμενοι κτ:

Διὰ δὲ τȣ̃ δε τȣ̃ ὕμνȣ, ὁ Χορὸς, οἷον ἐξ ἑνὸς στόματος τῶν Περιεστώτων συμπάντων, πιστεύειν καθομολογεῖ τὴν ὑπὸ τȣ̃ ἤδη ἀναγνωσθέντος Εὐαγγελίȣ διαμηνυθεῖσαν τȣ̃ Κυρίȣ Ἀνάστασιν.

§. 97.

Ἐν ταῖς λοιπαῖς ἡμέραις, τȣ̃ Ἀναστασίμȣ Εὐαγγελίȣ μὴ ἀναγινωσκομένȣ, καὶ ὁ ῥηθεὶς ὕμνος σιγῇ παραλείπεται, ἅτε πρὸς ἐξύμνησιν τείνων μόνης τῆς τȣ̃ Κυρίȣ ἐγέρσεως.

§. 98.

Ἔπειτα δὲ ὁ Πεντηκοστὸς ἀναγινώσκεται ψαλμὸς, οὗ μεταξὺ ἀναγινωσκομένȣ, ὁ Ἱερεὺς χαλάσας τὸ Φελόνιον,

καὶ

ϗ βαςάζων τὸ Θεῖον Ἐυαγγέλιον πρὸ τοῦ ςήθȣς, ἐξέρχεται τῶν ἱερῶν πυλῶν, δυεῖν ἑκατέρωθεν αὐτȣ̃ λαμπάδων Κηρίνων προηγȣμένων· ϗ προελθὼν εἰς τὴν μέσιω ἵςαται τȣ̃ Ναȣ̃, ἐπιςήθειον τὸ Ἐυαγγέλιον ἔχων. Τότε δ᾽ ὁ Προϊςάμενος προσιὼν, ϗ διττῆ τῆ ὑποκλίσει τῆς κεφαλῆς αὐτὸ προσκυνήσας, ἀσπάζεται ϗ τοῖς χείλεσιν. Εἶτα ἀσπασάμενος ἀπέρχεται· μετ᾽ αὐτὸν δὲ, ϗ οἱ λοιπόι Ἀδελφοὶ ὡσάυτως.

Ὁ δὲ Πεντηκοςὸς ψαλμὸς, εἴωθε πρὸ τῶν Κανόνων ἀναγινώσκεσθαι, καθότι τὴν ψυχὴν τῶν περιεςώτων ἐκφαίνει, ὅλως περὶ θεοσεβεῖς ἐναχολεῖσθαι μελετὰς σπȣδάζȣσαν. Ὁ γȣ̃ν θεσπέσιος Ἀθανάσιος (ἐν Ἐπις: Α΄. τῆ πρὸς Μαρκελλῖνον, περὶ τῆς τῶν ψαλμ: Ἑρμιω: ἐν Τόμ: Α΄.) ἔχεις (Φησὶ) τȣ̀ς τῆς μετανοίας ϗ ἐξομολογήσεως λόγȣς ἐν τῷ Πεντηκοςῷ ψαλμῷ.

## §. 99.

Τοῦ ψαλμοῦ περανθέντος, λέγεται Δόξα: Ταῖς τῶν Ἀποςόλων πρεσβείαις κτ: Καὶ Νῦν: Ταῖς τῆς Θεοτόκȣ κτ:: Εἶτ᾽ αὖθις: Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σȣ, κτ: Καὶ ἐχομένως τὸ Ἀναςάσιμον: Ἀνα-

τας ὁ Ἰησοῦς ἀπὸ τοῦ Τάφου καθὼς προεῖπεν, κτ: Πληρωθέντος δὲ τοῦ ἀσπασμοῦ, αἴρει ὁ Ἱέρευς τὸ Εὐαγγέλιον, σαυρὸν τυπόμενος ἐπὶ τοὺς Ἀδελφοὺς, καὶ μεταβαίνει εἰς τὸ Θυσιασήριον.

Τὰ δὲ ῥηθέντα ἄσματα τὸ, τε ἐπ' ὀνόματι τῶν Ἁγίων, καὶ τὸ εἰς ἀνάμνησιν τῆς Θεοτόκου, ψάλλεται, ὅτι αὐτοὺς πεποίθαμεν εἶναι, τοὺς ὑπὲρ ἡμῶν παρὰ τῷ Θεῷ πρεσβεύοντας.

§. 100.

Ὁ δὲ Διάκονος, ἐν τῷ συνήθει τόπῳ ἱσάμενος, λέγει μεγαλοφώνως: Σῶσον ὁ Θεὸς τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου. Καὶ ὁ Χορὸς, τὸ: Κύριε ἐλέησον: δωδεκάκις ἐπαναλαβὼν. Ὁ δὲ Ἱερευς ἐκφωνεῖ: Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ κτ:

§. 101.

Τοῦ Ἀμὴν ἐπιλεγομένου, ἐναρχόμεθα τοῦ Εἱρμοῦ τοῦ Κανόνος τοῦ Ἀνασασίμου, καὶ ἐφεξῆς συνείρομεν τὰ Τροπάρια τοῦ Κανόνος τοῦ Σταυρο — Ἀνασασίμου, καὶ τοῦ τῆς Θεοτόκου, καὶ τοῦ κατὰ τὴν τοῦ Μηνὸς ἡμέραν Ἁγίου. Καὶ ἐκ μὲν τοῦ Κανόνος τῆς Ἀνασάσεως, δίειμεν Τροπάρια τέσσαρα· ἐκ δὲ τοῦ Σταυρο-Ἀνασασίμου, τρία·

ἐκ

ἐκ δὲ τȣ̃ τῆς Θεοτόκȣ τρία· ἐκ δὲ τȣ̃ Μιωιαΐȣ τέσσαρα. Προάδομεν δὲ τῶν Τροπαρίων τȣ̃ πρώτȣ τῶν εἰρημένων Κανόνων, τὸ: Δόξα τῇ Ἀναςάσει Σȣ Κύριε. (Ὅρα Κανὼν.)

§. 102.

Προσέτι δὲ προεπάδονται, καὶ αἱ ἀπὸ τῆς ἱερᾶς Γραφῆς Ὠιδαὶ, ἤτοι τὰ Ἄισματα, τὰ ἐν τοῖς Εἱρμοῖς τȣ̃ Ἀναςασίμȣ Κανόνος ἐμπεριεχόμενα. Εἰσὶ δὲ αἱ Ὠιδαὶ αὗται αἱ ἐφεξῆς: Α΄. ἡ τȣ̃ Μωσέως. ἐπὶ τῆς Ἐξόδȣ, ἐν Κεφαλ: ΙΕ΄. - Βα: ἡ ἐπὶ τȣ̃ Δευτερονομίȣ, ἐν Κεφ: ΛΒ. — Γ": ἡ τῆς Ἄννης, ἐν Α. τῶν Βασιλειῶν, Κεφ: Β. — Δ": ἡ τȣ̃ Προφήτȣ Ἀββακȣ́μ, ἐν Κεφ: Γ΄. — Ε": ἡ τȣ̃ Προφήτȣ Ἡσαΐȣ, ἐν Κεφ: Κϛ΄. — ϛ": ἡ τȣ̃ Προφήτȣ Ἰωνᾶ, ἐν Κεφαλ: Β΄. — Ζ": ἡ τῶν τριῶν Παίδων παρὰ τῷ Προφ: Δανιήλ, Κεφ: Γ΄. — Η": ἡ τῶν αὐτῶν, Αὐτ: Κεφ: Γ΄. — Θ": ἡ τῆς ὑπεραγίας Θεοτόκȣ, παρὰ Λȣκᾷ, ἐν Κεφαλ: Α΄. — Ι": ἡ Ζαχαρίȣ τȣ̃ πατρὸς τȣ̃ Προδρόμȣ, Αὐτ: ἐν Κεφαλ: Α΄. Περὶ ὧν Ὠριγένης (ἐν Ὁμιλίᾳ τῇ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων) μνείαν πεποίηται. Καὶ δὴ καὶ ὁ θεῖος Χρυσό-

Χρυσόςομος (ἐν Ὁμιλ: ὅτι ἐδεὶς, εἰμὴ αὐτὸς ἕκαςος ὑφ᾽ ἑαυτῦ, παραβλάπτεται.) τὸν ὕμνον, λέγων Τριῶν Παίδων ἁπανταχῦ περιᾴδεσθαι.

Τὰς μὲν ἒν Ὠδὰς ταύτας, τὰς παρ᾽ Ἑβραίοις ἐξᾳδομένας, καὶ ὑπὸ τῶν Χριςιανῶν διατετύπωται ψάλλεσθαι, πλὴν τῆς Θ': καὶ τῆς Ι'': τὸ κατ᾽ ἀρχὰς (ἵνα μήτις ἀποτροπιασμὸς, παρὰ τὸ καινὸν τῆς ψαλμῳδίας τῆς τῦτων, τοῖς ἐξ Ἰεδαίων τὴν εἰς Χριςὸν πίςιν ἀσπαζομένοις, ἐγγένοιτο.) Ὕςερον μέν τοι καὶ αἱ δύο προσετέθησαν αὗται· καὶ πάσας ἄρα ἑξῆς ἀναγνώσκεσθαί τε καὶ ἀναμέλπεσθαι, καθάπερ ἒν, καὶ τοὺς ψαλμὲς, καὶ τὰς Ἐκτενὰς, καὶ τὲς ὕμνες εὐλόγως, ἐξ αὐτῶν σπαργάνων τῆς Ἐκκλησίας διώριςαι· ὡς δῆλον, ἐξ ὧν ὁ Ἀπόςολος Παῦλος πρὸς Ἐφεσίες (Κεφ: Ε'. Ἐδαφ: 19) γράφων Τό: λαλῦντες ἑαυτοῖς ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ: σαφῶς ἐμφαίνει τὴν τοιάνδε τῶν θείων ὕμνων ἀκολεθίαν τῇ Ἐκκλησίᾳ ἐν χρήσει γενέσθαι ἄνωθεν. Ἐπεὶ δ᾽ ἒν οἱ εἰς Χριςὸν πιςεύοντες, ἐνθέῳ ἐναγόμενοι ἔρωτι, καὶ τὰς τῶν ἐν ἁγιότητι διαπρεψάντων ἔσπευδον εὐφημίας πανηγυρίζειν, ἐν αἷς ἡμέραις

ραις ἐκεῖνοι, ἤτοι παθόντες ἤθλησαν, ἢ ζῶ ἀπέληξαν· ταύτη δὴ τῇ εὐαγεῖ σπȣδῇ ἐπαρκέσȣσα ἡ Ἐκκλησία, καὶ τȣς τῶν Ἁγίων ἐπαίνȣς, μεταξὺ τῶν εἰρημένων Ὠδῶν, ἔγνω δεῖν ἐνεισάγεσθαι· οὕτω δέ τοι, ὥστε ὑφ' ἑκατέρȣ τῶν Χορῶν, τὸν τῆς Ὠδῆς στίχον, τὸν ὕμνον προσᾴδεσθαι τὸν τȣ̃ Κανόνος. Αἱ δὲ Ὠδαὶ αὗται, ὥσπερ καὶ αἱ τῶν τȣ̃ Κανόνος Τροπαρίων, ἐν οἷς διείληπται ἡ ὑπόθεσις, διὰ ψαλμῳδίας ἐνάρχονται: διὸ καὶ τῷ αὐτῷ ὡσαυτως τȣ̃ Εἱρμȣ̃ τόνῳ, καθ' ὃν ἐῤῥύθμισαι τὰ Τροπάρια, ἐξ ἀμφοτέρων τῶν Χορῶν ἡ Ψαλτῳδία διεκπεραίνεται.

Τὴν Δευτέραν τȣ̃ Μωσέως Ὠδὴν ἐκκεκλεῖσθαι τῶν ὕμνων μαρτυρεῖ ὁ Ῥαββὶ Μωϋσῆς ὁ Μαϊμονίδης, διὰ τὸ ἐπὶ θυσίας καθαρσίȣ τινὸς ἀναβάλλεσθαι εἰωθέναι· ἐν αὐτῇ γὰρ τὰς εὐποιΐας ὁ Θεόπτης καταλέγων, τὰς παρὰ Θεȣ̃ ἐπιδαψιλευθείσας Ἑβραίων τῷ γένει, καὶ τὸ τῆς ψυχῆς ἀχάριστόν τε καὶ σκληροκάρδιον αὐτοῖς ἐξελέγχων, ȣ̉́ποτε τὸν Θεὸν ἐκείνοις ἀφήσειν προηγόρευσε, πρὶν ἢ τὰς ποινὰς ἀποτίσειαν τὰς χαλεπωτάτας· καὶ ἰσχυρογνωμονȣ̃σιν, ȣ̉κ ἄλλως, εἰμὴ ἐκ μεταγ-

μεταγνώσεως εἰλικρινῆς ἐπιςρέψασι, τὰ δεινὰ προαπήγγελλεν ἀποτρέψειν. Διὰ τῦτο τοίνυν καὶ ἡ τῦ Χριςῦ Ἐκκλησία τὴν Ὠιδὴν ταύτην ἐν χρήσει γίνεσθαι διετύπωσε κατὰ τὰς νηςίμυς μόνον ἡμέρας, ὡς εἰς μετάνοιαν αὐτὰς ὁρισθείσας.

§. 103.

Ἡ Θ": τῶν Ὠιδῶν, ἡ εἰς τιμὴν τῆς ὑπεραγίας Θεοτόκυ, κατ' εὐλάβειαν διαφερόντως ἀνατεθεῖσα, τοῖς ἀναγινωσκομένοις, ἢ ψαλλομένοις ἄλλοις τῶν Κανόνων ὑκ ἀναμίγνυται ςίχοις· ἐπὶ δ' ἑκάςῳ τῶν της Ὠιδῆς ταύτης ςίχων ὁ Εἰρμὸς, ὁ τὺς ἰδιαίτερον προσήκοντας αὐτῇ ἐπαίνυς περιέχων διετάχθη προσᾴδεσθαι.

§. 104.

Ὁ τῶν ἐν τοῖς ἀναγινώσκεσθαι μέλλυσι Κανόσιν ἀριθμὸς Τροπαρίων ὥρισαι. Διὸ τὰ τῶν Ὠιδῶν ἔχατα ἔπη, εἰς ὃ ὁ ἀριθμὸς πληρωθείη, ἐπαναλαμβάνεται.

§. 105.

Τῆς Γ": τῶν Ὠιδῶν πληρωθείσης, καὶ δὴ καὶ τῆς ς":, ὁ Διάκονος λέγει τὴν Μικρὰν Συναπτήν· τῦτο δὲ γίνεται,

διὰ

διὰ τὸ μετὰ τὰς ῥηθείσας Ὠιδὰς, Ἱερὰς τῷ λαῷ Ὁμιλίας ὑπαναγινώσκεσθαι.

§. 106.

Ἰσέον, ὅτι τῆς Η: τῶν Ὠιδῶν ἐκπερανθείσης, ὑπὸ σιωόλυ τῦ Χορῦ, τῦ τὴν Θ· ἤδη ἐναρξομένυ, τὴν κεφαλὴν ὑποκλίναντος, ὁμοφώνως ἀεὶ λέγεται, τό: Αἰνῦμεν, εὐλογῦμεν, καὶ προσκιωῦμεν τὸν Κύριον. μεθ᾽ ὃ τέως ὁ τῆς Η΄: Εἱρμὸς, ἤτοι ἡ Καταβασία. Οὗ πληρωθέντος, ὁ Διάκονος τὴν Ἱερὰν Τράπεζαν θυμιάσας, ψάλλει μεγαλοφώνως: Τὴν Θεοτόκον ϗ Μητέρα τῦ φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλιώωμεν· Καὶ τηνικαῦτα ἐναλλὰξ ᾄδεται διὰ τῶν ςίχων ἡ Θ΄: Ὠιδή· Μεγαλιώει ἡ ψυχήμυ τὸν Κύριον. οὕτω δὲ προσᾴδοντες τὴν ὑπὲρ τὺς Ἀγγέλυς δοξαζομένην, καὶ τὴν κεφαλὴν μεταξὺ ὑποκλίνοντες, τὸ πρὸς τὴν τῦ Θεῦ Μητέρα ἐπιμαρτυροιῶται σέβας· ὁ δὲ Ἱερεὺς ἐν τύτῳ, ἢ ὁ Διάκονος, τήν τε Ἁγίαν Τράπεζαν, καὶ τὸν Ναὸν, καὶ τὸν λαὸν ἅπαντα ἐπιθυμιάζων τιμᾷ.

1. Ἐν ταῖς Κυριωνύμοις ἡμέραις, οἱ Εἱρμόι, οἱ μόνον αὐταῖς προσανήκοντες, ἐν τοῖς Κανόσιν εἰώθασιν ᾄδεσθαι, ἢ

ἀναγι-

ἀναγινώσκεσθαι· 2. Ἐν δὲ ταῖς Θεομητορικαῖς, οἱ ςίχοι οἱ εἰς δόξαν αὐτῆς συντεταγμένοι προσᾴδονται. 3. Ἐν δὲ ταῖς ἐπ᾽ ὀνόματι τῶν Ἁγίων ὑπὸ τῆς Ἐκκλησίας ἀφοσιωμέναις, ἑκάςη τῶν ἰȣ Κανόνος Ὠïδῶν, κ̀ διὰ Τροπαρίȣ Θεοτοκίȣ ἀποτερματίζεται. Ὡς γὰρ τῶν Ἁγίων ἁπάντων ὑπερτέραν, τὴν ὑπεραγίαν Θεοτόκον ἡ Ἐκκλησία σεβασμιάζȣσα, εἰκότως καὶ ἀρχομένη καὶ τελευτῶσα ἐν ὕμνοις τε καὶ Ἱκεσίαις, πρωτίςην αὐτὴν παρὰ τῷ Θεῷ πρέσβιν, ὑπὲρ τῶν Χριςιανῶν προβάλλεται.

§. 107.

Ὁ Κανὼν Φωνὴ ἐςὶν Ἑλληνικὴ· Σημαίνει δὲ: 1. Ῥῆμα Θεȣ̃, ὅπερ οἷον ὅρος πρόκειται Πίςεως. 2. τὰς τῶν Συνόδων Διατάξεις· 3. Κανὼν ἐπεκλήθη (κατὰ τὸν Ζωναρᾶν ἐν βίῳ Ἀναςασίȣ.) καὶ ἡ τῶν Τροπαρίων Συλλογὴ καὶ ἄθροισις, τῶν κατὰ Ποιητικὴν τέχνην, διὰ ποδῶν τε καὶ ςίχων, ῥυθμιζομένων καὶ ᾀσματιζομένων.

§. 108.

Μετὰ τὴν Θ: Ὠιδὴν ὁ Διάκονος θυμιάσας ἅπαντας ὑποςρέφει, καὶ Συναπτὴν

τὴν Μικρὰν ποιήσας, κράζει ἐν ἤχῳ τῷ τεταγμένῳ: Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν:

§. 109.

Ἑπομένως δὲ τὸ Ἐξαποστειλάριον τὸ Ἀναστάσιμον: (Ὅρα Ἐξαποστειλάριον.

§. 110.

Οἱ δ᾽ ἐν τοῖς Αἴνοις ψαλμόι (ΡΜΗ. καὶ ΡΜΘ. καὶ ΡΝ΄.) ὅυτως (Αἶνοι) καλοῦνται, διὰ τὴν ἐν αὐτοῖς ἐπαναληφθεῖσαν φωνήν: Αἰνεῖτε. Μετὰ γοῦν τὸ ἐκπληρωθῆναι τό: Πᾶσα πνοὴ κτ: κατ᾽ ἦχον τὸν τῆς ἡμέρας, τίθενται Τροπάρια ὀκτὼ. Ἐφ᾽ οἷς, Δόξα, τὸ Ἀναστάσιμον Ἑωθινὸν· Καὶ Νῦν τὸ Θεοτοκίον, ἐν ἤχῳ Β΄. Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε κτ.

Ἐπειδὴ γὰρ τὴν κατὰ τὸν Ὄρθρον Ἀκολουθίαν, διὰ τῆς τοῦ Θεοῦ Δοξολογίας καὶ ἄρχεσθαι, καὶ περαίνεσθαι ἡ τοῦ Χριστοῦ Ἐκκλησία διέταξε, διὰ τοῦτο καὶ τοὺς ψαλμοὺς τούς δε πρὸ τῆς Μεγάλης Δοξολογίας, περὶ τὸ τῆς Ἀκολουθίας ψάλλεσθαι τέρμα διέθετο.

§. 111.

Δοξολογία Μεγάλη.

Τῦ ὕμνε τέτε γίνεται μνεία ἐν ταῖς τῶν Ἀποςόλων Διατάξεσι, Βιβλ: Ζ΄. Κεφ: ΜΖ΄. Ἐμνήσαντο δὲ τέτε καὶ Ἀθανάσιος ἐν τῇ περὶ Παρθενίας Ὁμιλ: Καὶ ὁ Μ: Βασίλειος ἐν Κεφαλ: Ζ΄. καὶ ΚΕ΄. καὶ ΚΘ΄. περὶ τῦ Ἁγίε Πνεύματος· Καὶ Κύριλλος ὁ Ἱεροσολυμίτης ἐν Κατηχήσει τῶν Μυςαγωγικῶν Ε΄. Τμήμ: Ε΄. Καὶ ὁ Χρυσόςομος Ὁμιλ: ΚΘ΄. εἰς τὸ κατὰ Ματθαῖον· καὶ εἰς τὴν πρὸς Κολασσαεῖς Ὁμιλ: Γ΄. Ὀυρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν ἐρανὸς δέχεσθαι. Διὰ τῦτο ἐυχαριςῦντες λέγομεν: Δόξα ἐν ὑψίςοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις ἐυδοκία. Καὶ ἐν Ὁμιλίᾳ δὲ Θ΄. Τὶς ὁ ὕμνος τῶν ἄνω; τὶ λέγει τὰ Χερεβίμ; ἴσασιν οἱ πιςοὶ, τὶ ἔλεγον οἱ Ἄγγελοι κάτω: Δόξα ἐν ὑψίςοις Θεῷ. Διὰ τῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε τελειότερόν τι πρᾶγμα: Ψαλμοῖς, φησὶ, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Θεῷ.

§. 112.

Εἶτα διττὴν τὴν ἐκτενῆ ὁ Ἱερεὺς, ἢ ὁ Διάκονος λέγει: Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κτ: Μεθ᾽ ἣν ἡ Ἐκφώνησις: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις· Ἔπειτα: πληρώσωμεν τὴν Ἑωθινὴν ἡμῶν δέησιν κτ: καὶ ἡ Ἐκφώνησις:

νησις: Ὅτι Θεὸς ἐλέυς, καὶ οἰκτιρμῶν, καὶ φιλανθρωπίας ὑπάρχεις κτ: καὶ ὁ Ἱερεὺς τέως: Εἰρήνη πᾶσι καὶ ὁ Χορὸς: Καὶ τῷ Πνεύματί Σȣ· Ὁ δὲ Διάκονος: τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Καὶ ὁ Ἱερεὺς μυστικῶς: Κύριε Ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν κτ: Καὶ ἐπεκφωνεῖ: Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς κτ· (Ὅρα Ἐκτενής.)

§. 113.

Μετὰ ταῦτα ὁ Διάκονος: Σοφία: Ὁ δὲ Χορὸς: Εὐλόγησον. Δι' ὧν δὴ ἐκπεραινομένȣ τȣ̃ Ὄρθρου, διεγείρονται οἱ παρεστῶτες εἰς τὸ τῇ παρὰ τȣ̃ Ἱερέως εὐλογίᾳ προσέχειν, ἣν ἂν ἀπολάβοιεν.

§. 114.

Ὁ Ἱερεὺς: Εὐλογητὸς Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν: Καὶ ψάλλεται τὸ: Στερεώσαι ὁ Θεὸς τὸν Εὐσεβέστατον Βασιλέα κτ:

Ὃν οὖν ὁ Ἱερεὺς Κύριον Χριστὸν Ἰησȣ̃ν ἐν ὕμνοις ἐξαίρει, τὸν αὐτὸν ὁ Χορὸς καθικετέυει, ὅπως ἂν ἐπιστηρίζοι τὸν Βασιλέα ἐν τῇ ὁμολογίᾳ τῆς ὀρθοδόξȣ Πίστεως.

§. 115.

Ἐπὶ τούτοις ὁ Ἱερεὺς: Ὑπεραγία Θεοτόκε κτ: Ὁ δὲ Χορὸς: Τὴν Τιμιωτέραν καὶ τὰ λοιπὰ, ὡς ἔθος. Καὶ τελευταῖον γίνεται Ἀπόλυσις.

Τοῦ Ἱερέως τὰς πρὸς τὴν ὑπεραγίαν Θεοτόκον διευθυνομένας δεήσεις ἐπαναλαμβάνοντος, καὶ ὁ Χορὸς ἅμα τὴν αὐτὴν μεγαλύνει. Ἐπαναπεμπάζων δ᾽ ὁ Ἱερεὺς τὴν πρὸς Θεὸν δοξολογίαν, ἐπιλέγει τὴν τελευταίαν Εὐχὴν, ἥτις ἀκούει διὰ τοῦτο Ἀπόλυσις. Διὰ δὲ τῆς Ἀπολυτηρίου ταύτης Εὐχῆς ὁ Ἱερεὺς Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν ἀντιβολεῖ, ἵνα, διὰ πρεσβειῶν τῆς παναχράντου καὶ παναμώμου αὐτοῦ Μητρὸς, καὶ τῶν Ἁγίων· ἄλλων τε δὴ, καὶ ὧν τὴν μνήμην ἐπιτελοῦσα ἡ Ἐκκλησία εἰς ἱκεσίαν αὐτῷ προὐβάλλετο, ἐλεήσειέ τε ἡμᾶς, καὶ Σωτηρίας τυχεῖν ἀξιώσειεν.

Ὁ δέ τοι Χορὸς, ὡς ἐκ προσώπου τοῦ λαοῦ ψάλλων, δεήσεις ἐκχέει, τὰς ὑπὲρ τοῦ Βασιλέως, καὶ τοῦ Ἀνακτορικοῦ παντὸς οἴκου, καὶ ὑπὲρ τοῦ Πατρίου ὀρθοδόξου Πολιτεύματος, τὴν ἐπὶ ἔτη πλεῖστα στερρῶσιν καὶ διαμονὴν παρὰ τοῦ Θεοῦ ἐξαιτήμενος.

# ΚΕΦΑ΄ΛΑΙΟΝ Δ΄.

## ΠΕΡῚ ΤΩ͂Ν ὩΡΩ͂Ν

§. 116.

Ἡ τοῦ ψαλμοὺς ἀναγινώσκειν διάταξις, καὶ Τροπάρια, καὶ ἕτερα ἄττα τοιάδε κατὰ στίχους ἔπη προσᾴδειν, ἐξ ἀρχῆς τῇ Ἐκκλησίᾳ διατετύπωται. Παῦλος καὶ γὰρ ὁ θεῖος Ἀπόστολος ἐπιστέλλων Κολασσαεῦσιν, (ἐν Γ΄. Κεφαλ: ἐδαφ: 16.) ἐφ᾽ ᾧ τὴν ἐπίγνωσιν τῆς Εὐαγγελικῆς ἀληθείας ἐπὶ μᾶλλον προάγεσθαι, τὸ τοιόνδε μέσον, ὡς ἤδη ἔκτοτε παραληφθὲν εἰς χρῆσιν προβάλλεται· ἵνα δηλονότι ὁμοθυμαδὸν αὐτοὶ ἑαυτοὺς ἐκπαιδεύοιεν, ἀλλήλους προσπαραθίγοντες, ἐν ψαλμοῖς ἐνασχολεῖσθαι καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς. Ταύτης δὲ δὴ τῆς παλαιᾶς παραδόσεως ἑαυτὴν ἡ Ἐκκλησία οὐδέποτε ἀποστήσασα, τὰς παρ᾽ ἑαυτῆς ἱκεσίας πρὸς τὸν παραπλήσιον ἀπευθύνειν τρόπον οὐκ ἔστιν ὅτε οὐκ ἐπιμελὲς ἔθετο· κἀντεῦθεν ἄρα

τῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν Ὡρῶν, τήν τε Α΄. καὶ τὴν Γ΄. καὶ τὴν ϛ΄. καὶ τὴν Θ΄. ἐν τρισὶ ψαλμοῖς ἑκάστην, καὶ βραχυτελέσι τισὶ Τροπαρίοις συμπληρουμένην, καί τισιν εὐχαῖς προσέτι, τὰς ὑποθέσεις προσφυῶς ἐχούσαις, δι᾽ ἃς δέον κατὰ τὰς εἰρημένας ὥρας τῇ προσευχῇ σχολάζειν, ἀναγινώσκεσθαι διετάξατο.

Ἔκπαλαι δὲ τὸν Κανόνα τόνδε τετηρῆσθαι, ἐκ τῶν Ἀρχαιοτέρων Συγγραφέων κατασκευάζεται. Καὶ γάρτοι καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διατάξεσι, (Βιβλ: Η΄. Κεφαλ: ΛΔ.) ἐντεταλμένον ἀναγινώσκομεν. Εὐχὰς ἐπιτελεῖτε Ὄρθρου, καὶ Γ΄: ὥρᾳ, καὶ ϛ΄. καὶ Θ΄. καὶ Ἑσπέρᾳ, καὶ Ἀλεκτοροφωνίᾳ. Ὄρθρου μὲν, εὐχαριστοῦντες ὅτι ἐφώτισεν ἡμῖν ὁ Κύριος, παραγαγὼν ἡμῖν τὴν νύκτα, καὶ ἐπαγαγὼν τὴν ἡμέραν· Γ΄. δὲ, ὅτι ἀπόφασιν ἐν αὐτῇ ὑπὸ Πιλάτου ἔλαβεν ὁ Κύριος. ϛ΄. δὲ, ὅτι ἐν αὐτῇ ἐσταυρώθη. Θ΄. δὲ, ὅτι πάντα κεκίνηται τοῦ Δεσπότου ἐσταυρωμένου, φρίττοντα τὴν τόλμαν τῶν δυσσεβῶν Ἰουδαίων, μὴ φέροντα τοῦ Κυρίου τὴν ὕβριν. Ἑσπέρᾳ δὲ, εὐχαριστοῦντες, ὅτι ἡμῖν ἀνάπαυσιν ἔδωκε τῶν μεθημερινῶν κόπων τὴν νύκτα. Ἀλεκτρυόνων δὲ κραυγῇ, διὰ τὸ τὴν ὥραν εὐαγγελίζεσθαι τῆς ἡμέρας εἰς ἐργασίαν τῶν τοῦ φωτὸς ἔργων. Τὰ δ᾽ αὐτὰ καὶ ὁ θεσπέσιος Ἀθανάσιος γράφει (Βιβλ: Β΄. περὶ Παρθεν:) ἐνὶ

τούτῳ

τούτῳ διαφέρων, ὅτι τῶν ὡρῶν τὴν Γ΄. εἰς μνήμην ἀναφέρει τῆς ἐπὶ τοὺς Μαθητὰς καθόδου τοῦ Ἁγίου Πνεύματος. Προσεμπεδοῦσι δὲ τὰ αὐτὰ καὶ Τερτυλλιανὸς, ἐν τοῖς περὶ Νηστείας, Κεφ. Ι΄. Καὶ Κυπριανὸς περὶ τῆς Κυριακῆς προσευχῆς. Καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν Στρώματι Ζ΄. Καὶ Ἱερώνυμος ἐν Ἐπις: Ζ. Καὶ ὁ Χρυσόστομος ἐν Ὁμιλ: Ζ΄. τῶν εἰς τὴν Γένεσιν. Καὶ ὁ Κασσιανὸς ἐν Γ΄. Βιβλ: Κεφ: Γ. καὶ Δ΄. Καὶ Βασίλ: ὁ Μέγας ἐν τοῖς Κανόσι τοῖς Μείζοσιν, Ἐρωτ: ΛΖ΄. Περὶ δὲ δὴ τῆς Θ΄. ὥρας καὶ ἡ ἐν Λαοδικείᾳ διείληφε Σύνοδος, Καν. ΙΗ΄.

§. 117.

Οἱ ἐν Μοναστηρίοις, καὶ μάλιστα οἱ ἐν Ἐρημίαις βιοτεύοντες μονοτρόπως, περὶ μόνα τὰ αὐτῶν ἐργόχειρα ἐνασχολούμενοι, καὶ ὑπὸ μεριμνῶν καὶ ἐργασιῶν ἄλλων μόλις που περισπώμενοι, ἑκάστην τῶν ἐν ταῖς τεταγμέναις ὥραις Ἀναγνώσεων ὡρισμένως, ῥᾶστα ἐπλήρουν· ἐπεὶ δέ τοι ἑτέρας μεταξὺ καὶ ἑτέρας ὥρας διάλειμμά τι περιελείπετο· τούτου γε ἕνεκα, ὡς ἂν ἔτι καὶ μᾶλλον τὰς τῆς διανοίας ἐνθυμήσεις ἀρεμβάστους συνέχοιεν, καὶ ταῖς Ἱεραῖς

Ἱεραῖς ἐμπροσεθίζοιντο μελέταις προσκαρτερεῖν, καὶ τοῦτο δὴ προσέτι τοῦ χρόνου ἐν ἀναγνώσμασι διεπλήρουν, τοῖς σφίσιν ὑφ᾽ ἑαυτῶν ἐπιτασσομένοις. Σωίσατο δὲ τὰ τοιάδε Ἀναγνώσματα ἐν Ἐκλογαῖς ψαλμῶν ἀντιστιχέντων ταῖς ἐν τοιαῖσδε ὥραις συμβεβηκείαις πράξεσιν·

§. 118.

Τῶν δέτοι πράγμασι συνεχομένων καὶ μερίμναις βιωτικαῖς, ἑκάστη τῶν εἰρημένων Ὡρῶν ἐπισχολάζειν ἐλευθέρως μὴ εὐκαιρούντων· τούτου, δὴ χάριν ἡ Ἐκκλησία διέταξε, τὴν μὲν Α΄. ὥραν ἐχομένως ἀναγινώσκεσθαι μετὰ τὸν Ὄρθρον, πρωΐας ἤδη ἐκπληρωθέντα· τὴν δὲ Γ΄. καὶ τὴν ϛ΄. πρὸ τῆς Λειτουργίας περαίνεσθαι, ἐν τῷ τὴν προσφορὰν ἐπιτελεῖσθαι· τὴν δὲ Θ΄. πρὸ τοῦ Ἑσπερινοῦ, ἐν τῷ προαυλίῳ τοῦ Ναοῦ λέγεσθαι. (Ὅρα ἐν τῷ τῆς Ἐκκλησίας Τυπικῷ, Σελ. 1. Καὶ ἐν τῷ Εὐχολογ: Σελ. 1. Καὶ παρὰ Συμεὼν τῷ Θεσσαλον: Κεφαλ: ΤΚΔ΄. ΤΚΕ. ΤΚϚ. ΤΚΖ.)

§. 119.

Ἐν ταῖς πρὸ τῶν Χριστοῦ Γενεθλίων, καὶ ταῖς τῶν Θεοφανίων, καὶ ταῖς τῶν Σωτηρίων Παθῶν Ὥραις ψαλμοίτινες

εἰώθασιν ἄλλοι ἀναγινώσκεσθαι, Τροπαρίων τέ τινων ϗ στίχων ἀναμιγνυμένων, τῶν, πρὸς ἑκάστῳ τῶν εἰρημένων Ἑορτῶν προσφυῶς ἀναφερομένων, ἐπ᾽ ἀναμνήσει τῶν ἅπερ ὑπὸ τῆς Θεȣ̃ προνοίας τῷ ἀνθρώπων γένει προεμνηστεύθη εὐεργετήματα.

§. 120.

Αἱ κατὰ τὴν ἡμέραν τῶν Θεοφανίων ἀναγινωσκόμεναι ὧραι, προσείρηνται Βασιλικαὶ (ἐν τῷ Ἐκκλησ: Τυπικῷ, Σελ: 217.) Τῆς δὲ τοιᾶς δε προσρήσεως ἔτυχον, ἐκ τȣ̃ τὰ ὀνόματα τȣ̃ Βασιλέως, καὶ τȣ̃ οἴκȣ αὐτȣ̃ τηνικαῦτα, κατά τινα ἰδιαίτερον τύπον, ἐπιφημίζεσθαι. Ἐν γὰρ ταῖς ὥραις ταύταις καὶ οἱ Βασιλεῖς αὐτοὶ μετὰ διαφερȣ́σης δορυφορίας τε καὶ παρατάξεως εἰς τὸν Ναὸν πομπεύειν εἰώθεσαν.

Ἰωάννης ὁ Κȣροπαλάτης (ἐν τῷ περὶ τȣ̃ Τύπȣ τῶν τελετῶν τῆς Μεγάλης Ἐκκλησίας, καὶ τȣ̃ Παλατίȣ, Κεφαλ: ΙΒ´:) τῶν τȣ̃ Σωτῆρος Γενεθλίων ἑορταζομένων, τὴν τῶν Ὡρῶν ἀκολȣθίαν ἐν τῷ Ἀυλικῷ ἐπιτελεῖσθαι Ναῷ διέξεισι, παρόντος τȣ̃ Βασιλέως, καὶ ἐπιφημιζομένȣ Ἐυχῶν

τε

τε προσαναφωνεμένων πανδήμων, ὑπὲρ τῆς αὐτῦ μακροβιότητος. Καὶ ἐν Κεφαλαίῳ δὲ Η΄. κατὰ τὴν ἡμέραν τῶν Θεοφανίων, ὁμοίως. Καὶ μὲν δὴ, καὶ ἐν Κεφαλαίῳ ΙΓ΄. ἐπὶ τῶν τῦ Κυρίε Παθῶν, τὴν αὐτὴν Διάταξιν, φησί, παρατετηρῆσθαι.

## ΚΕΦΑ΄ΛΑΙΟΝ Ε΄.

### ΠΕΡΙ΄ ΤΗ͂Σ ΛΕΙΤΟΥΡΓΙ΄ΑΣ.

§. 121.

Ἑλληνικὴ ἐςὶν ἡ φωνὴ Λειτεργία. Σημαίνει δέ τινα καθυπέργησιν ἐπὶ τῆς τῦ Μυςηρίε Ἱεροτελεςίας, τῆς πρὸς μετάληψιν τῦ παναχράντου Σώματος τῦ Κυρίε ἐπιτελεμένης. Κατὰ τὴν δε δὴ τὴν σημασίαν, ὁ τύπος τῦ τὸ Μυςήριον τῦτο τελεῖσθαι, ὁ παρὰ τῶν Ἁγίων Ἀποςόλων Ἰακώβε τε καὶ Μάρκε· καὶ δὴ καὶ ὑπὸ τῦ Μεγάλε Βασιλείε, καὶ ὑπὸ τῦ Χρυσοςόμε παραδοθεὶς, Λειτεργία καλεῖται.

Βασί-

Βασίλειος γὰρ ὁ ȣ̓ρανοφάντωρ, καὶ ὁ Θεῖος Χρυσόςομος, ἐπεὶ συνεῖδον, τὰς παρὰ τῶν Ἱερῶν Ἀποςόλων διατυπωθείσας Λειτȣργίας, εἰκαίαις τισὶ ϗ φρȣ́δαις ἐξαλλοιώσεσι παραπεποιημένας ἐν πολλαῖς Ἐκκλησίαις παραληφθῆναι, εἰς τάξιν αὐτὰς βεβαίαν καὶ ἔμπεδον ἐπιμελές ἔθεντο ἀποκαταςῆσαι. Τὰς γȣ̃ν Λειτȣργίας τάςδε, ἅτε δὴ τῶν κατὰ τȣ̀ς θεηγόρȣς Ἀποςόλȣς ἐκείνων ἐν ȣ̓δενὶ διενιωοχείας, ὡς ἅπαξ ἡ Ἐκκλησία προσήκατο ἀσπασαμένη, ȣ̔́τω καὶ καθ᾽ ἡμᾶς ἔς γε καὶ νυ̃ν διασώζει, ςεῤῥῶς τε καὶ ἀμεταθέτως κατέχȣσα.

§. 122.

Ἐν τρισὶ δὲ μέρεσιν ἡ Λειτȣργία διαπεραίνεται: ὧν τὸ μὲν Α΄. ἐςὶν ἡ Προσκομιδὴ· τὸ δὲ Β΄. Ἱκεσίας ἐςί κοινὰς περιέχον. Τὸ δὲ Γ΄. διὰ τῆς τȣ̃ Φρικτȣ̃ Μυςηρίȣ τῆς Εὐχαριςίας πληρȣ̃ται.

1. Ἡ μὲν ȣ̃ν Προσκομιδὴ, φωνὴ καὶ αὕτη τῆς γλώσσης ἐςὶ τῆς καθ᾽ Ἕλληνας. Σημαίνει δὲ, Γερμανȣ̃ τȣ̃ Θείȣ Πατριάρχȣ διερμηνεύοντος, Προσφορὰν· παρὰ τὸ τȣ̀ς ἐν τῇ Ἐκκλησίᾳ συναγομένȣς πιςȣ̀ς εἰωθέναι ἄρτȣς προσφέρειν. Ἐπεὶ δὲ πρὸς

ἐκτέ-

ἐκτέλεσιν τὴν τοῦ Μυστηρίου, εἷς τε καὶ μόνος Ἄρτος ἐναπαιτεῖται· τῶν δὲ πιστῶν ἕκαστος, τὸν παρ᾽ αὐτοῦ προσενεχθέντα ἐπὶ τῇ τοιᾶδε εὐαγεῖ χρήσει, ἐφίοιτ᾽ ἂν ἐξαιρέτως προσδιορίζεσθαι· διὰ δὴ τοῦτο ἡ Ἐκκλησία, ἐφ᾽ ᾧ τῇ πάντων ἐφέσει ἀφοσιώσηται, μερίδας ἐξ ἑνὸς ἑκάστου τῶν προσφερομένων ἄρτων διέταξεν ὑπεξάγεσθαι, ἐπ᾽ ὀνόματι τῷ τῶν προσαγόντων, ἤ, περὶ ὧν ὁ ἄρτος προσήχθη· καὶ ταύτας δὲ τὰς μερίδας οὕτως ἀποληφθείσας, ἐπὶ τοῦ δίσκου ἐπιτίθεσθαι, σωάμα τῷ Τεμμαχίῳ, τῷ πρὸς Θεὸν, ὡς δῶρον λατρείας διορισθέντι προσενεχθήσεσθαι. Διὸ τῆς ἱερᾶς Μεταλήψεως γενομένης, αἱ τοιαῦται σύμπασαι μερίδες ἐν τῷ Ποτηρίῳ ἐντίθενται, Εὐχῆς ἐπιλεγομένης ταύτης: Τὰς ἀνομίας Κύριε τῶν ἐξ ὀνόματος ὧδε μνημονευθέντων, πλῦσον τῷ τιμίῳ Σου αἵματι.

Ὁ θεῖος Χρυσόστομος (ἐν Ὁμιλ: ΙΗʹ. τῶν εἰς τὰς Πράξεις·) Ἐκκλησίας προτρέπων ἐν ἀγροῖς κτίζεσθαι· εὐχαὶ (φησὶν) ἐκεῖ διηνεκεῖς διὰ Σὲ, προσφορὰ καθ᾽ ἑκάστην. Καὶ Συμεὼν ὁ Θεσσαλονίκης ἐν τοῖς περὶ τοῦ Θείου Ναοῦ, (Κεφαλ: ΡΒ.) τὰ παραπλήσια λέγει. ¡ Καὶ ὁ Χρυσόστομος αὖθις (ἐν

Ὁμιλ. ΚΑ΄. τῶν εἰς τὰς Πράξ:) οὐ μάτην τὰς ὑπὲρ τῶν τεθνεώτων προσφορὰς ἐκδιδάσκει προσάγεσθαι: οὐ μάτην τὰς ὑπὲρ αὐτῶν ἱκεσίας τελεῖσθαι· οὐ μάτην τὰς ὑπὲρ αὐτῶν γίνεσθαι ἐλεημοσύνας. Ἅπαντα γὰρ ταῦτα διέταξε τὸ Πνεῦμα, ἀμοιβαδὸν ἡμᾶς ἐθέλον ἀλλήλων ἀπώνασθαι. Κἀν τῇ Α΄. πρὸς Κορινθ: (Κεφ: ΙΕ΄. Ὁμιλ: ΜΑ΄.) οὐδὲ μάτην ὁ παρεστὼς τῷ Θυσιαστηρίῳ, τῶν φρικτῶν Μυστηρίων τελουμένων βοᾷ ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελούντων. . . . . διὰ τοῦτο θαῤῥοῦντες ὑπὲρ τῆς οἰκουμένης δεόμεθα τότε. κτ:

2. Κοιναὶ δὲ διὰ τοῦτο αἱ Ἱκεσίαι προσείρηνται αὗται, καθότι καὶ τοῖς Πιστοῖς ἐπίσης, τούς τε Κατηχουμένους, καὶ τοὺς ἐν τῇ τῶν Ὑπακουόντων τάξει καθῆκε σπουδὴν ποιεῖσθαι περὶ τὴν ἀκρόασιν τῶν τούτων, ἅτε ἀναφερομένων κοινῇ πρὸς ἅπαντας.

3. Προσετέθη δὲ, τὸ Γ΄. Μέρος τῆς Λειτουργίας, ἐν τῇ τελετῇ πληροῦσθαι τοῦ Μυστηρίου τῆς Εὐχαριστίας, τοῦ μόνον ἐπὶ τῇ μεταλήψει τοῦ ἀχράντου Σώματός τε καὶ Αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελεῖσθαι διαταχθέντος. Διὸ καὶ πάλαι

λαι τῦ Φρικτῦ τύτυ Μυςηρίυ ἐν ταῖς Ἐκκλησίαις ἐκτελυμένυ, μηδενὶ παρίςασθαι, πλιὼ τῶν ἐπὶ τῷ μεταλαβεῖν προσιόντων, ἐφεῖτο. (Ὅρα §. 186.)

## ΜΕ'ΡΟΣ Α'. ΤΗ͂Σ ΛΕΙΤΟΥΡΓΙ'ΑΣ.

§. 123.

Ο' τὸ Θεῖον Μυςήριον Ἱερυργήσων, ἅπασι προκατηλλάχθαι ὀφείλει, καὶ μηδενὶ ἐπιχαλεπαίνειν· τιὼ δὲ ψυχιὼ ἀπὸ ἐνθυμήσεων πονηρῶν καθαρέυυσαν, ὡς οἷον τε, τηρεῖν· Καὶ ἀφ' ἑσπέρας δὲ, βρώσεώς τε καὶ πόσεως περιττῆς ἀπέχεσθαι, καὶ ἄχρι τῆς ὥρας τῆς Ἱεροτελεςίας νηφάλιος εἶναι.

Τὸ δὲ παράγγελμα τόδε ἐπ' αὐτοῖς βεβηκε τοῖς ῥήμασι τοῖς τῦ Σωτῆρος: Ἐὰν ἔν προσφέρης τὸ δῶρον Συ ἐπὶ τὸ Θυσιαςήριον, κἀκεῖ μνησθῆς ὅτι ὁ ἀδελφός Συ ἔχει τι κατὰ Σῦ, ἄφες ἐκεῖ τὸ δῶρον Συ ἔμπροσθεν τῦ Θυσιαςηρίυ, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ Συ. (Ματθ: Κεφ: Ε'. Ἐδαφ: 23. 24.)

§. 124.

Εἶτα ὁ Διάκονος λέγει: Ἐυλόγησον Δέσποτα.

Τὸν

Τὸν καιρὸν τȣ͂ ἐνάρξαϑαι τῶν δεήσεων, καὶ τῆς τȣ͂ Μυςηρίȣ Ἱεροτελεςίας, ἔργον τȣ͂ Διακόνȣ ἐςὶ τῷ Ἱερεῖ ἀιαγγέλλειν.

§. 125.

Ὁ Ἱερεὺς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νιῦ, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων. ὁ Διάκονος: Ἀμιὼ. Καὶ ἄρχεται λέγειν, τὸ: Βασιλεῦ οὐράνιε κτ: Τὸ: Ἅγιος ὁ Θεὸς ἐκ τρίτȣ: καὶ μετὰ τὸ: Πάτερ ἡμῶν κτ: ὁ Ἱερεὺς: Ὅτι Σȣ͂ ἐςὶν ἡ Βασιλεία, κτ:

§. 126.

Καὶ δὴ λέγȣσιν: Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς κτ:

Ἐπὶ γὰρ τιὼ Ἱερȣργίαν ἑαυτȣ̀ς παρασκευάζοντες, ἱκετέυȣσι ταῦτα, ὡς μετανοίας ἔμφασιν ἔχοντα.

§. 127.

Τȣ́των ἐυχϑέντων, ὅ τε Ἱερεὺς καὶ ὁ Διάκονος, ὡς ἦν πάλαι Χριςιανοῖς ἔϑιμον, ȣ̓ μόνον τὰς Ἱερὰς εἰκόνας ἐπισεβάζονται· ἀλλὰ καὶ πρὸ τῶν Ἁγίων ϑυρῶν, ὡς ἐνώπιον τȣ͂ σκιωώματος Θεȣ͂ τȣ͂ ζῶντος ἱςάμενοι, καὶ ἐς ἔδαφος προσπίπτοντες, τάς τε φλιὰς κατασπάζονται,

καὶ

καὶ τὰς Ἁγίας εἰκόνας τοῖς χείλεσι καταφιλοῦσιν.

§. 128.

Ἔπειτα κλίνοντες τὰς κεφαλὰς, λέγουσι τὴν Εὐχὴν ταύτην: Κύριε ἐξαπόστειλον τὴν χεῖρα Σου ἐξ ὕψους κατοικητηρίου Σου, καὶ ἐνίσχυσόν με εἰς τὴν προκειμένην διακονίαν Σου, ἵνα ἀκατακρίτως παραστὰς τῷ φοβερῷ Σου Βήματι, τὴν ἀναίμακτον Ἱερουργίαν ἐπιτελέσω. ὅτι Σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Τὴν παρὰ τοῦ Κυρίου δηλονότι ἐπικαλοῦνται βοήθειαν, ἵνα τῇ ἐκείνου δυνάμει ἐπιῤῥωσθέντες ἀκατάκριτοι παραστῶσιν ἐπιτελέσοντες τὰ θεῖα Μυστήρια.

§. 129.

Καὶ τότε, εἰσέρχονται εἰς τὸ Θυσιαστήριον. λέγοντες: Εἰσελεύσομαι εἰς τὸν οἶκον Σου, προσκυνήσω πρὸς Ναὸν Ἅγιόν Σου ἐν φόβῳ Σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ Σου, ἕνεκα τῶν ἐχθρῶν μου· κτ.

Ταῦτα λέγων ὁ Ἱερεὺς, τὴν πρὸς Θεὸν αὐτοῦ προθυμίαν τε καὶ εὐσέβειαν ἐπιδείκνυσιν, ἐν αἷς παρεσκευασμένος εἰς τὸ Ἱερὸν εἰσελήλυθεν. Ἱκετεύει δέ, ὅπως αὐτὸν μὲν ἐπὶ τῆς Ἱερουργίας διεξάγοι,

δια

διασώζοι δὲ καὶ τὴν Ἐκκλησίαν ἀπὸ τῆς τῶν ἀσεβούντων ἐπηρείας, τῶν αὐτῇ ἐπεμβαινόντων, ἀνεπιβούλευτον. Ἵνα ἐν ψυχῇ γηθοσύνῳ τε καὶ εὐφραινομένῃ τὴν αὐτοῦ δόξαν οἱ πιστοὶ μεγαλύνωσιν.

§. 130.

Εἰσελθόντες ἀμφότεροι ἐντὸς τοῦ Ἱερατείου, λαμβάνουσι ταῖς χερσὶν ἑκάτερος αὐτῶν τὸ Στοιχάριον, καὶ ποιοῦντες προσκυνήσεις τρεῖς πρὸς Ἀνατολὰς, λέγουσι καθ' ἑαυτοὺς τό: ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Ἵνα γὰρ τὰς Ἱερὰς ἐνδύσωνται περιβολὰς, εἰκὸς αὐτοὺς εἶναι καθηγνισμένους τε καὶ καθηγιασμένους τῇ τοῦ Θεοῦ χάριτι.

§. 131.

Ἐφεξῆς ὁ Διάκονος τὴν κεφαλὴν ὑποκλίνας προσέρχεται τῷ Ἱερεῖ, κρατῶν τῇ δεξιᾷ χειρὶ τὸ Στοιχάριον σὺν τῷ ὠραρίῳ· καὶ λέγει: Εὐλόγησον Δέσποτα τὸ Στοιχάριον σὺν τῷ Ὡραρίῳ. Διὰ δὲ τοῦτο ὁ Διάκονος ἐμφαίνει, μηδὲν ἐπιχειρεῖν, ἄνευ τῆς παρὰ τοῦ Ἱερέως ἀπαιτηθείσης εὐλογίας, αὐτῷ ἐπιτρέπεσθαι.

§. 132.

§. 132.

Ὁ δὲ Ἱερεὺς λέγει: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων: Ἀμήν.

Ταῦτα δὴ πρὸ οἱασδήποτε Ἱερᾶς τελετῆς ἐναρξομένης, οἷα προοιμιώδη προτίθεται· διὸ καὶ οἱ τὰ Ἱερὰ περιβαλλόμενοι ἄμφια ταῦτα προλέγουσιν.

§. 133.

Εἶτα ὑποχωρεῖ καθ' ἑαυτὸν ὁ Διάκονος ἐν μέρει τοῦ Ἱερατείου, καὶ ἐνδύεται τὸ Στοιχάριον, εὐχόμενος οὕτως: Ἀγαλλιάσεται ἡ ψυχήμου ἐπὶ τῷ Κυρίῳ: Ἐνέδυσε γάρμε ἱμάτιον σωτηρίου, καὶ Χιτῶνα εὐφροσύνης περιέβαλλέμε· ὡς Νυμφίῳ περιέθηκέμοι μίτραν, καὶ ὡς Νύμφην κατεκόσμησέμε κόσμῳ.

Ἀναγινώσκεται δὲ ὧδε τὰ τοῦ ψαλμοῦ ῥήματα ταῦτα, ὡς ἂν ὑπομιμνήσκηται ὁ περιβαλλόμενος, ὅσῃ διανοίας ἁγνείᾳ τε καὶ ἀκεραιότητι ἐπὶ τῆς τελεσθησομένης Ἱερουργίας ὀφείλει διακονεῖν.

Καὶ τὸ Ὡράριον ἀσπασάμενος ἐν φιλήματι, ἐπὶ τοῦ λαιοῦ ὤμου ἐπιτίθησιν. (Ὅρα Στοιχάριον.)

§. 134.

Τὰ δὲ Ἐπιμανίκια περιτιθέμενος ταῖς χερσὶν, ἐν μὲν τῇ δεξιᾷ λέγει: ἡ δεξιάσου

χεὶρ Κύριε, δεδόξασαι ἐν ἰσχύϊ, ἡ δεξιά σε Κύριε ἔθραυσεν ἐχθρὲς· καὶ τῷ πλήθει τῆς δόξης Σε συνέτριψας τὲς ὑπεναντίες.

Ἐν οἷς δὴ ῥήμασι παραινεῖται, τῇ ἐνεργείᾳ τῆς Θεȣ̃ χάριτος ἑαυτὸν παρατιθέναι, καὶ ταύτῃ ἐπιθαῤῥῶν, ὑπερβαίνειν ἐπιμελεῖσθαι πειρασμὸν ἅπαντα.

§. 135.

Ἐν δὲ τῇ ἀριστερᾷ λέγει: Αἱ χεῖρές Σε ἐποίησάν με καὶ ἔπλασάν με, κτ:

Δι' ὧν μαρτυρεῖ, ἑαυτῷ μὲν, καὶ ταῖς ἰδίαις δυνάμεσιν ὅλως ἐπενδοιάζειν, τῇ δὲ τȣ̃ πάντα δυναμένȣ δημιȣργȣ̃ ἐπιπεποιθέναι ἰσχύϊ καὶ χάριτι.

§. 136.

Εἶτα ἀπελθὼν εὐτρεπίζει ἐπὶ τῇ Προθέσει τὰ Ἱερὰ, τὸν μὲν Ἅγιον Δίσκον τιθεὶς ἐν τῷ ἀριστερῷ μέρει, τὸ δὲ Ποτήριον ἐν τῷ δεξιῷ: καὶ τὰ ἄλλα σὺν αὐτοῖς, τὰ πρὸς τὴν ἱερȣργίαν δηλ: ἀναγκαῖα.

Πρὸς δεξιὰν τῆς Τραπέζης ἦν τι Ταμεῖον, ἐν ᾧ τὰ σκεύη, καὶ ὅσ' ἄλλα ἐπὶ τῆς Ἱεροτελεστίας χρειώδη ἀπέκειτο φυλαττόμενα. Πρὸς δὲ τὴν ἀριστερὰν,

τρα-

τραπέζιον ἀςήκει, ἐφ ᾧ οἱ Διάκονοι τὰ σωτελᾶντα προπαρεσκέυαζον· (Ὅρα §. 25 καὶ 26.)

§. 137.

Ὁ δὲ Ἱερεὺς ὅτως ἐνδύεται: Λαβὼν τὸ Στοιχάριον ἐν τῇ ἀριςερᾷ χειρὶ, καὶ προσκωυήσας τρίτον κατὰ Ἀνατολὰς, σφραγίζων τε αὐτὸ ςαυροειδῶς, λέγει: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νιῦ, καὶ ἀεὶ, καὶ εἰς τὰς αἰῶνας τῶν αἰώνων. Ἀμὴν· Εἶτα περιβάλλεται αὐτὸ λέγων: Ἀγαλλιάσεται ἡ ψυχή μᾶ· ἕως τέλας.

Τόδε μὲν ᾗν τὸ Στοιχάριον, (ὃ Δαλματικὴν ἐσθῆτα καλᾶσιν·) ὁ Ἱερεὺς, ἡνίκα προκεχάριςο εἰς Ἀναγνώςην λαβὼν, ὅδ ἑξῆς, ἐπὶ τὰς ἀνωτέρας τῶν ὑπαργημάτων ἤδη προαχθεὶς τάξεις, ἀπαξιοῖ ἀμφιέννυσθαι.

§. 138.

Τοῖς δ' ἐν τῇ Ἐκκλησιαςικῇ καθυπαργήσει, ὁποίας δὴ ποτ' ᾗν τύχωσι τάξεως καὶ βαθμᾶ, ὁ τοιᾶτος χιτὼν (τὸ Στοιχάριον.) ὡς ἀκεραιότητος Σύμβολον, κοινή τις τυγχάνει ἐσθὴς· διὸ καὶ ἑκάςοις, τῷ λόγῳ ἧς ἂν μετιέναι λάχοιεν Ἐκκλη-

κλησιαςικῆς Λειτȣργίας, ἀναγκαίως ἐναπαιτεῖται· (Ὅρα §. 133.)

§. 139.

Εἶτα λαβὼν τὸ Ἐπιτραχήλιον, καὶ σφραγίσας, περιτίθεται λέγων: Ἐυλογητὸς ὁ Θεὸς ὁ ἐκχέων τὴν χάριν αὐτȣ̃ ἐπὶ τȣ̀ς ἱερεῖς αὐτȣ̃, ὡς μῦρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρὼν κτ:

Ὁ δὲ Ἱερὸς Συμεὼν ὁ Θεσσαλονίκης (ἐν τῷ περὶ τῶν Μυςηρίων Βιβλίῳ) γράφει, ὅτι: ἐπειδὴ καὶ θάτερον τȣ̃ Ὡραρίȣ μέρος, τὸ ἐξ ἀντιθέτȣ ὄπισθεν ἀπαιωρȣ́μενον, τῷ Διακόνῳ εἰς Ἱερέα ἤδη προαγομένῳ, ἐπὶ τȣ̃ ςήθȣς καὶ αὐτὸ ἀντιςραφὲν, ἀπὸ τȣ̃ τραχήλȣ προσαιωρεῖσθαι εἴωθε· καὶ ȣ̃τω σύμβολον τόδε πρῶτον τῆς αὐτῷ μεταδοθείσης Ἱερατικῆς καθίςαται Χάριτος· τȣ́τȣ δὴ χάριν ὁ Ἱερεὺς πρὸ τȣ̃ ςήθȣς τὸ ἐκ τȣ̃ τραχήλȣ σωημμένον περιτιθέμενος Ἐπιτραχήλιον, τὰ εἰρημένα διεξέρχεται λόγια: Διὰ δὲ τȣ̃το κ̀ ςολὴ τῷ Ἱερεῖ προσήκȣσα εἶναι τὸ Ἐπιτραχήλιον λέγεται.

§. 140.

Εἶτα λαβὼν τὴν Ζώνην λέγει περιζωννύμενος: Ευλογητὸς ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν,

μιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν με, καταρτιζόμε-
μενος τὲς πόδας με ὡσεὶ ἐλάφε, καὶ ἐπὶ τὰ ὑψη-
λὰ ἱςῶν με.

Ἐπεὶ τὸ περιζωννύεσθαι, παρασκευὴν, ἐνδείκνυσιν, εἰς ὁδὸν, ἢ ἐργασίαν, ἣν χρὴ ὑπελθεῖν, διὰ τἕτο ἐκεῖνα ὁ Ἱερεὺς Φησὶν, ἐπιμαρτυρῶν πως μεμνῆσθαι, οἵας περ καὶ ὅσης σπεδῆς τε δεῖ καὶ ἐπιμελείας, τῷ τὴν τελετὴν τἕ Μυςηρίε διαπράξεσθαι μέλλοντι.

§. 141.

Καὶ τὰ Ἐπιμανίκια, ὡς προείρηται. (§. 134. 135.)

§. 142.

Εἶτα λαβὼν τὸ Ὑπογονάτιον, (εἰ Πρωτοσύγκελλος ἐςὶ τῆς Μεγάλης Ἐκκλησίας, ἢ ἐν ἄλλῳ τινὶ ἀξιώματι διαπρέπων) καὶ εὐλογήσας αὐτὸ, καὶ ἀσπασάμενος, λέγει: Περίζωσαι τὴν ῥομφαίαν Σε ἐπὶ τὸν μηρόν Σε δυνατὲ, τῇ ὡραιότητίσε καὶ τῷ κάλλει σε, καὶ ἔντεινε, καὶ κατευοδε, καὶ βασίλευε, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης· καὶ ὁδηγήσειε σε θαυμαςῶς ἡ δεξιάσε· πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παραινεῖται δὲ διὰ τέτων, ὅτι, ὥσπερ διαφέρων ἐςὶ τῶν ἄλλων τῇ τάξει, ἕτω καὶ χρηςότητι, καὶ ἀληθείᾳ, καὶ δικαιοσύνῃ

σιύῃ, ἑαυτὸν τοῖς ἄλλοις ὀφείλει παρέχειν ὑπόδειγμα.

§. 143.

Εἶτα λαβὼν τὸ Φαινόλιον, καὶ εὐλογήσας, ἀσπάζεται, λέγων ὕτως: Οἱ Ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσει ἀγαλλιάσονται, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ θεῖος Χρυσόστομος (εἰς τὴν Β΄. πρὸς Τιμόθ: Κεφ: Δ. Ὁμιλ, ΙΔ.) Παῦλον (φησὶ) τὸν Ἀπόστολον, Φελόνην εἰπεῖν τὸ περιβόλαιον, τὸ ἐπὶ τῆς Ἱεροτελεστίας ἐν χρήσει γινόμενον· ἐμφαίνειν δὲ αὐτὸ, γράφει, τὴν δικαιοσύνην, ᾗ περικεκοσμημένους τοὺς Ἱερεῖς δέον προσέρχεσθαι, τὴν Ἱερουργίαν ἐπιτελέσοντας.

§. 144.

Εἶτα ἀπελθόντες εἰς τὴν Πρόθεσιν νίπτουσι τὰς χεῖρας, λέγοντες: Νίψομαι ἐν ἀθώοις τὰς χεῖρας μου, καὶ κυκλώσω τὸ Θυσιαστήριόν Σου Κύριε, τοῦ ἀκοῦσαι με φωνῆς αἰνέσεώς Σου, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά Σου. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου Σου, καὶ τόπον σκηνώματος δόξης Σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων· ἐγὼ δὲ, ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με Κύ-

ριε, καὶ ἐλέησόν με· ὁ πȣ̃ς μȣ ἔςη ἐν εὐθύτητι· ἐν Ἐκκλησίαις εὐλογήσω Σε Κύριε.

Διὰ δὴ τȣ́των ὁ ἐπὶ τὴν τελετὴν τῆς Ἱερȣργίας παρασκευαζόμενος ἐκδιδάσκεται, ὡς αὐτὴν τελετȣργήσων, ȣ̓δαμῶς ἄλλως, ἢ ἐν ψυχῇ κεκαθαρμένῃ προσιέναι ὀφείλει. Διὸ καθικετέυει τὸν Κύριον, ὅπως μὴ τοῖς ἀσεβέσι συγκατακριθείη, ἀλλ᾽ ἄξιος γένοιτο, τȣ̃ ἐν ἁπλότητι ψυχῆς Θεῷ τὸν αἶνον προσαγαγεῖν, ἐν μέσῳ τȣ̃ τῶν πιςευόντων ἀθροίσματος· (Ὅρα §. 28.)

Ἡ τῶν χειρῶν ἐναπόνιψις, ἐπί τε τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης ὁμοίως, οἷόν τι προπαρασκευῆς σύμβολον ἐς ἀεὶ νενόμιςαι προηγȣμένης, εἴςτε προσευχὴν, καὶ τὴν λοιπὴν ἱεροπραξίαν· τῷ γὰρ Μωσεῖ Θεὸς ἐνετείλατο, πρὸ τȣ̃ τῆς Συναγωγῆς Σκηνώματος ὕδωρ ἐπὶ τȣ́τῳ προκεῖσθαι. Καὶ τὸ χεῖρας δὲ νίπτειν, ὑπὸ τῶν τῆς Ἐκκλησίας Διδασκάλων ἀνέκαθεν διετάχθη, ὡς ὑπόμνησις τῆς ἐν τῇ ψυχῇ καθαρότητος, καὶ τῆς ἀκηλιδώτȣ συνειδήσεως, μεθ᾽ ἧς προσιτέον τοῖς ἐν τῇ Ἐκκλησίᾳ Ἱερȣργεῖν μέλλȣσιν. Ἔνθεντοι καὶ Βαπτιςήριον (Σκεῦος δηλονότι ὕδατος πλῆρες) ἐν τῇ αὐλῇ προκεῖσθαι

κεῖθαι εἰώθει παρὰ ταῖς πύλαις, δι ὧν ἡ εἰς τὸν Ναὸν εἰσέλευσις. Πρὸς τοῦτο δὲ καὶ τὸ τοῦ Χρυσοςόμου ἀφορᾷ φάσκοντος, ὅτι ὥσπερ ἔθος Κρώας πρὸ τῶν Ἐυκτηρίων προηυτρεπίθαι, ὅπως ἄν οἱ μέλλοντες τῷ Θεῷ προσκυνεῖν ἐν τῷ προσέυχεθαι, προνενιμμένας τὰς πρὸς αὐτὸν αἴρωσι χεῖρας· οὕτω πρὸς ταῖς θύραις οἱ πρὸ ἡμῶν τοὺς πτωχοὺς παρέςησαν ἀντὶ τῶν Κρωῶν· ἵν᾽ οὐκ ἄλλως, ἢ ὥσπερ τὰς χεῖρας πλυύοντες ὕδατι, ὁμοίως καὶ τὴν ψυχὴν δι εὐποιΐας προκαθάραντες, τὰς προσευχὰς ἡμῶν τέως προσφέρωμεν. (ὅρα ἐν Ὁμιλ: ΚΕ΄. τῇ περὶ τῶν Ῥημάτων τοῦ Ἀποςόλου.) Τοιοῦτον οὖν ἔθος ἐν τῇ Ἐκκλησίᾳ καὶ ἐπ᾽ αὐτοῦ κρατεῖν ὁ θεῖος πατὴρ μαρτυρεῖ. Ὁρῶμεν γὰρ (φησὶ) πολλοὺς, καὶ ὅπως μετὰ καθαρῶν εἰσελθοιεν ἱματίων σπουδάζοντας, καὶ ὅπως τὰς χεῖρας νίψαιντο . . . Τοιγαροῦν ἀποπλυώωμεν καὶ ἡμεῖς, μὴ βορβόρῳ, ἀλλ᾽ ὕδατι καθαρῷ, Ἐλεημοσυνῃ, καὶ μὴ πλεονεξίᾳ. Ὁ δ᾽ αὐτὸς καὶ ἀλλαχοῦ (εἰς τὴν Ἔξοδ. Κεφ: Γ΄. Ἐδαφ: 18. 19. 20. Καὶ Κεφαλ: Μ΄. Ἐδαφ: 31. 32. 33.) Εἰπέμοι: ἆρα ἂν ἕλοιο, χερσὶν ἀνίπτοις τῇ θυσίᾳ προσελθεῖν;

§. 145.

Καὶ ἔτως ἀπέρχονται ἐν τῇ Προθέσει. Εἶτα προσκυνήματα τρία ἔμπροσθεν τῆς Προθέσεως ποιήσαντες, ἑκάτερος λέγει: Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με. Καὶ τὸ: Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τῦ Νόμυ τῷ τιμίῳ Συ αἵματι, τῷ σαυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα Σοί.

Ταύτῃ δέ τοι καθικετεύοντες, αὐτὸν τὸν ἐξαγοράσαντα τὸν κόσμον, καὶ ἀπὸ τῆς κατάρας τῦ Νόμυ ἐκλυτρωσάμενον, καὶ δι᾽ ὧν ὑπέςη παθημάτων, καὶ τῦ θανάτυ, ἀθανασίαν τοῖς θνητοῖς προμνηςεύσαντα, παριςάνυσιν.

§. 146.

Εἶτα λέγει ὁ Διάκονος: Εὐλόγησον Δέσποτα. Ὁ δὲ Ἱερεὺς ἄρχεται: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Καὶ ὁ Διάκονος: Ἀμήν.

Διὰ δὴ τύτυ, τῦ πρὸ ἑκάςης τελετυργίας προλεγομένυ, καὶ ἡ τῆς Προσκομιδῆς ὡσαύτως ἀρχὴ γίγνεται. (Ὅρα Προσκομιδή.)

§. 147.

Εἶτα λαμβάνει ὁ Ἱερεὺς, ἐν μὲν τῇ ἀριςερᾷ χειρὶ τὴν προσφορὰν, ἐν δὲ τῇ

δεξιᾷ

δεξιᾷ τὴν Ἁγίαν Λόγχην, καὶ σφραγίζων μετ᾽ αὐτῆς τρίτον ἐπάνω τῆς προσφορᾶς, λέγει τρὶς: εἰς ἀνάμνησιν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀλλὰ τῇ Λόγχῃ τὸν τοῦ Σταυροῦ τύπον ὁ Ἱερεὺς ἐπιχαράσσων, τίποτ᾽ ἄλλ᾽ ἢ τῶν τοῦ Χριστοῦ ἀλγηδόνων ἀνακαλεῖ τὴν ἀνάμνησιν;

§. 148.

Καὶ εὐθὺς πήγνυσι τὴν Λόγχην ἐν τῷ δεξιῷ μέρει τῆς σφραγίδος, κτ:

Τῆς δὲ προσφορᾶς ἔωθεν ἐξαιρεῖσθαι τὸ ἐν μέσῳ, καὶ τοῦτο τετράγωνον, διὰ τὸ τὰς ἀκρότητας τοῦ Ἄρτου παρὰ τὴν ὄπτησιν διαθρύπτεσθαι πεφυκέναι.

Ἐπαναγινώσκεται δὲ τὰ τῆς Ἱερᾶς Γραφῆς λόγια, τὰ τὴν ἐξαγορὰν ἡμῶν προδιατυποῦντα, καὶ τὴν διὰ τοῦ Σωτῆρος ἐκπληρωθεῖσαν ἀπολύτρωσιν τοῦ κόσμου προαγορεύοντα.

§. 149.

Τελευταῖον ὁ Ἱερεὺς τὸ δεξιὸν τῆς προσφορᾶς ἐπινύσσων τῇ Λόγχῃ, τῆς λογχευθείσης τοῦ Σωτῆρος πλευρᾶς, ἐξ ἧς ἐπήγασεν αἷμα καὶ ὕδωρ, τὴν μνήμην ἀνακαινίζει.

§. 150.

§. 150.

Ἐν ᾧ δὲ ὑπὸ τȣ̃ Ἱερέως ἐπιλέγεται ταῦτα: Καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ: ὁ Διάκονος ἐν ταὐτῷ ἐγχέει ἐν τῷ Ἁγίῳ Ποτηρίῳ οἶνον καὶ ὕδωρ.

§. 151.

Εἶτα λαβὼν ὁ Ἱερεὺς δευτέραν προσφορὰν λέγει: Εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξȣ, Δεσποίνης ἡμῶν Θεοτόκȣ καὶ ἀειπαρθένȣ Μαρίας· ἧς ταῖς πρεσβείαις πρόσδεξαι Κύριε τὴν Θυσίαν ταύτην εἰς τὸ ὑπερȣράνιόν σȣ Θυσιαστήριον. Καὶ τῇ Λόγχῃ μερίδα αἴρων, τίθησιν αὐτὴν ἐν τῷ δεξιῷ μέρει τȣ̃ θείȣ ἄρτȣ, πλησίον τȣ̃ μέσȣ αὐτȣ̃. κτ:

Καὶ ἀπὸ τῶν ἄλλων δὲ προσφορῶν ὁ Ἱερέυς αἴρων μερίδας, τιθείς τε ἐπὶ τȣ̃ Δίσκȣ, τὰ ὀνόματα καταλέγει ζώντων τε καὶ τεθνεώτων.

Διώρισαι δ᾽ ὁ τοιός δε τύπος, παρὰ τὸ ἐν τῇ Ἐκκλησίᾳ πάλαι εἰωθὸς εἶναι, ἐπὶ τῇ τελετῇ τῆς Ἱερȣργίας, πρὸς τῶν πιςῶν ἁπάντων ἄρτȣς προσφέρεσθαι· καὶ τοιγε ἐπὶ τῇ ἱερᾷ κοινωνίᾳ, καὶ ἄρτȣ ἑνὸς ἐξαρκȣ̃ντος· οὗ δὴ χάριν ὁ Ἱερεὺς ὁ τὴν Ἱερȣργίαν ἐπιτελέσων, ἐκ μιᾶς μόνης προσφορᾶς τὸ μέρος ἐξῄρει. Ἐπεὶ δὲ ὑπὲρ

ὑπὲρ τὸν ἕνα πολλοὶ καὶ ἄλλοι προσεκομίζοντο ἄρτοι, οἱ μὲν, εἰς μνήμην τῶν Ἁγίων, ὧν περ τὰ λείψανα ἐν τῷ Ναῷ ἐτηρεῖτο· οἱ δὲ, εἰς εὐχὴν ἰδίαν τε δὴ ὑπὲρ ἑαυτῶν ἑκάστου, ἢ καὶ ὑπὲρ τῶν Συγγενῶν τε καὶ οἰκείων, ζώντων ἢ τεθνεώτων· διὰ τοῦτο ἡ Ἐκκλησία, ὡς ἂν μηδὲ τούτων δόξειεν, ὡς περιττῶν ὀλιγώρως ἔχειν, διέθετο καὶ ἐξ αὐτῶν ἑκάστης τῶν προσφορῶν μερίδας ἀπεξαιρεῖσθαι· μνημονεύεσθαι δ' ἐν αὐταῖς τὰ ὀνόματα, ὑφ' ὧν τε, καὶ δι' οὓς προσηνέχθησαν· Ἀλλ' ὅτι γὰρ διὰ τὸ πλῆθος τῶν προσφερομένων, τῇ τῶν ὀρθοδόξων σπουδῇ τε καὶ προθυμίᾳ ἐπαρκέσαι οὐκέτι ῥάδιον ἦν· ἐκ τούτου ἔφθη τὸ ἔθος ἐπικρατῆσαι, τοῦ ἄρτων μὲν ἀριθμὸν ὡρισμένον ἐν χρήσει παραλαμβάνεσθαι, τοὺς δ' εὐσεβεῖς, ἐπ' ἄλλαις τισὶ τῇ Ἐκκλησίᾳ οὐχ ἥκιστα ἀναγκαίαις δαπάναις, ἐπιφιλοτιμουμένους, τὴν ἑαυτῶν εὐλάβειαν ὁσιοῦσθαι, Καὶ δῆτα, τῶν εἰς μνήμην τῶν Ἁγίων τι ὁποιονοῦν προσφερόντων, ὥρισαι ἐκ μὲν τοῦ Δευτέρου τῶν Ἄρτων, μερίδα ἐξαιρεῖσθαι εἰς τιμὴν καὶ μνήμην τῆς ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀ-

ειπαρ-

ειπαρθένȣ Μαρίας. Ἐκ δὲ τοῦ Τρίτȣ, μερίδας λαμβάνεσθαι τὰς ὑπὲρ τῶν Ἁγίων, ὡς ὑπὲρ τῶν πιςῶν πρὸς Θεὸν πρεσβευόντων. Ἐκ δὲ τȣ̃ Τετάρτȣ, τὰς εἰς μνημόσυνον τȣ̃ Βασιλέως, τῆς Συνόδȣ, τȣ̃ Ἐπισκόπȣ, τῶν Διακόνων, καὶ τῶν Ὀρθοδόξων συμπάντων. Ἐκ δὲ τȣ̃ Πέμπτȣ τελευταῖον, τὰς ὑπὲρ τῶν ἐν πίςει κεκοιμημένων.

Ὁ θεῖος Χρυσόςομος (ἐν Ὁμιλ: ΙΗ΄. τῶν εἰς τὰς Πράξ: τῶν Ἀπος:) παραινῶν μηδένα τῶν Κώμας κεκτημένων καὶ Χωρία, ἔρημον ὀφθῆναι Ἐκκλησίας Χωρίον ἔχοντα: Εὐχαὶ (Φησίν) ἐκεῖ διηνεκεῖς διὰ Σὲ· προσφορὰ καθ᾽ ἑκάςην Κυριακήν. (Καὶ ἐν Ὁμιλ: δὲ τῇ ΚΑ΄.) ȣ̓κ εἰκῇ ἱκετηρίαι, ȣ̓κ εἰκῇ ἐλεημοσύναι· ταῦτα πάντα τὸ πνεῦμα διέταξεν . . . . . ȣ̓χ ἁπλῶς ὁ Διάκονος βοᾷ ὑπὲρ τῶν ἐν Χριςῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελȣμένων . . . . ἀλλὰ πάντα μετὰ πίςεως γίνεται.

§. 152.

Εἶτα λαβὼν ὁ Διάκονος τὸ θυμιατήριον, καὶ θυμίαμα βαλὼν ἐν αὐτῷ, λέγει πρὸς τὸν Ἱερέα: Εὐλόγησον Δέσποτα τὸ θυμίαμα.

Τὸ

Τὸ δὲ σημαίνει, μηδέν τι ἐπὶ τῆς Ἱερȣργίας ἐπιχειρεῖν τὸν Διάκονον, ἄνευ τῆς παρὰ τȣ̃ Ἱερέως προηγȣμένης ἐυλογίας, τῆς ἐπὶ τῷ Ἰησȣ̃ Χριςȣ̃ γίνεϑαι ἐιωϑείας ὀνόματι.

§. 153.

Ὁ Διάκονος: τȣ̃ Κυρίȣ δεηϑῶμεν: Καὶ ὁ Ἱερεὺς ϑυμιάσας τὸν Ἀςερίσκον, τίϑησιν ἐπάνω τȣ̃ Ἁγίȣ Ἄρτȣ, λέγων: Καὶ ἐλϑὼν ὁ Ἀςὴρ, ἔςη ἐπάνω ȣ̃ ἦν τὸ παιδίον.

Ὁ δὲ Ἀςερίσκος ἐπὶ τȣ̃ Δίσκȣ, ἐπάνω τȣ̃, ἐπὶ τῷ Μυςηρίῳ τῆς κοινωνίας ἐυτρεπιϑέντος, Ἁγίȣ ἐπιτίϑεται Ἄρτȣ, ἐίς τε ἀνάμνησιν τȣ̃ Ἀςέρος ἐκείνȣ, οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἀφίκοντο πρὸς τὸν τεχϑέντα Σωτῆρα τȣ̃ κόσμȣ· καὶ ἄλλως δὲ, ἵνα μὴ τὸ κάλυμμα, ᾧπερ ἐπικαλυπτέος ὁ Δίσκος, κατιὸν αὐτȣ̃ ἐπιψάυῃ τȣ̃ Ἄρτȣ καϑικνȣ̃μενον.

§. 154.

Ὁ Διάκονος: τȣ̃ Κυρίȣ δεηϑῶμεν, Καὶ ὁ Ἱερεὺς προϑυμιάσας τὸ πρωτον κάλυμμα, σκεπάζει τὸν Ἅγιον Ἄρτον τὸν ἐπὶ τȣ̃ Δίσκȣ, λέγων: ὁ Κύριος ἐβασίλευσεν, ἐυπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο ὁ Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐςερέυσε τὴν οἰκȣμένην ἥτις ȣ̓

σαλε-

σαλευθήσεται. κτ: (Ἔπειτα δὲ καὶ τὸ δεύτερον κάλυμμα ἐπιθυμιάσας, σκεπάζει διὰ τούτου τὸ Ἅγιον Ποτήριον, λέγων: Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετή σου Χριστὲ, καὶ τῆς αἰνέσεώς Σου πλήρης ἡ γῆ. Ἐφ᾽ οἷς καὶ τρίτον κάλυμμα λαβὼν, ἤτοι τὸν Ἀέρα, καὶ θυμιάσας καὶ τοῦτον, σκεπάζει ἀμφότερα, ἐπιλέγων τὴν εὐχήν: Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου, κτ:)

§. 155.

Τελευταῖον ὁ Ἱερεὺς λαβὼν τὸν θυμιατὸν, θυμιᾷ τὴν Πρόθεσιν, λέγων ἐκ τρίτου, τό: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα Σοι.

Δι᾽ ὧν αἶνος τε καὶ εὐχαριστία προσφέρεται, τῷ διὰ τῶν παθῶν ὧν ὑπέστη, τὸ Μυστήριον τῆς ἐξαγορᾶς ἐκπληρώσαντι, καὶ πρὸς εὐχαριστήριον ἀνάμνησιν, ἐπιτελεῖσθαι διαταξαμένῳ τὴν Ἱερουργίαν τῆς κοινωνίας καὶ μεταλήψεως.

§. 156.

Ἔπειτα λαβὼν τὸν θυμιατὸν ὁ Διάκονος, λέγει: ἐπὶ τῇ Προθέσει τῶν τιμίων δώρων τοῦ Κυρίου δεηθῶμεν. Ὑπεμφαίνων δηλονότι, περὶ τῶν προτεθέντων, ἐπὶ τῇ Ἱερουργίᾳ

λειτουργίᾳ

λετεργίᾳ τῶν προτεθέντων τε̃ Μυϛηρίε τῆς κοινωνίας εἰδῶν, τῶν ἤδη προπαρασκευαθέντων, καιρὸν ἐφεϛᾶναι γενεσθαι δέησιν.

§. 157.

Ο῾ δὲ Ἱερεὺς σιωάπτει τὴν Εὐχὴν τῆς Προθέσεως, δι᾽ ἧς, τὴν τε̃ Σωτῆρος τε̃ κόσμε ἐπαγγελίαν εἰς μνήμην ἀνακαλῶν: ὅτι, οἱ τε̃ ὑπ᾽ ἐκείνε συϛάντος Μυϛηρίε κοινωνε̃ντες, ἐκείνε αὐτε̃ κοινωνήσεσι· τὸν ἐπεράνιον καθικετέυει Πατέρα, ὅπως ἂν τὴν ὑπὸ τῆς Ἐκκλησίας προσαγομένην προσφορὰν ταύτην εὐμενῶς προσδεξάμενος, ἵλεως ἔσοιτο τοῖς τε ὑφ᾽ ὧν, καὶ τοῖς ὑπὲρ ὧν τὰ τοιαῦτα δῶρα αὐτῷ προσάγεται. Καὶ ἵνα δὲ καὶ τὸν περὶ αὐτὰ τελεεργε̃ντα, σιωάμα τοῖς αὐτῷ σιωδιακονε̃σιν, ἐπὶ τῆς τῶν εὐαγῶν Μυϛηρίων Ἱεροτελεϛίας, ἀνεπιλήπτες τε καὶ ἀπροκριματίϛες διατηρήσῃ. Τῆς σιω τοιαύτης Εὐχῆς πέρας λαβέσης, Ἀπόλυσις γίνεται.

§. 158.

Τελευταῖον ὁ Διάκονος θυμιᾷ τὴν Πρόθεσιν, καὶ τὴν Ἁγίαν Τράπεζαν (κύκλω ϛαυροειδῶς.) λέγων καθ᾽ ἑαυτόν: Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδε δὲ μετὰ ψυχῆς ὡς Θεὸς, κτ:.

κτ: Δι' ὃ παρίςησι τὸν Σωτῆρα ἡμῶν ἐν πάσῃ τῇ δόξῃ αὐτῦ ἁπανταχῦ παρεῖναι· Ἐπαναγινώσκει δὲ καὶ τὸν Πεντηκοςὸν ψαλμὸν, ὡς δέησιν περιέχοντα διὰ μετανοίας, τῆς ὡς μάλιςα ἀναγκαίως ἐναπαιτυμένης τῷ τελετυργεῖν τὰ Ἱερὰ μέλλοντι.

§. 159.

Καὶ ςάντες ὁμῦ πρὸ τῆς Ἁγίας Τραπέζης, προσκυνῦσιν (ἐκ τρίτυ) καθ' ἑαυτὺς εὐχόμενοι, καὶ λέγοντες: Βασιλεῦ ὐράνιε, παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς, κτ: εἰ γὰρ ἐπὶ παντὸς ἀγαθῦ ἔργυ τὸ Πνεῦμα δέον ἐπικαλεῖσθαι τὸ Ἅγιον, πόσῳ δὴ μᾶλλον τοῖς ἱερυργεῖν ἐναρξομένοις τὰ θεῖα τῦτο ἐπάναγκες; (Ὅρα §. 38.) Εἶτα ἀσπάζονται ὁμῦ, ὁ μὲν Ἱερεὺς τὸ Ἐυαγγέλιον, ὁ δὲ Διάκονος τὴν Ἁγίαν Τράπεζαν· ὃς ὑποκλίνας μετὰ τῦτο τὴν κεφαλὴν τῷ Ἱερεῖ λέγει: Καιρὸς τῦ ποιῆσαι τῷ Κυρίῳ, Δέσποτα Ἅγιε εὐλόγησον. Οὕτω καὶ γὰρ πρὸς τὴν Ἱεροπραξίαν ἑαυτὸν ὁ Διάκονος προπαρασκευάσαςτε, καὶ προδιαθέμενος ἧπερ ἔδει, τῇ τῆς κεφαλῆς ὑποκλίσει, Καιρὸς, εἰπὼν,

τοῦ ποιῆσαι τῷ Κυρίῳ. εὐλογίαν δηλονότι τὴν παρὰ τοῦ Ἱερέως, ἢ εὐχὴν ἐξαιτεῖται. Ὁ δὲ Ἱερεὺς σφραγίζων αὐτὸν, φησὶν: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεὶ, ἢ εἰς τὲς αἰῶνας τῶν αἰώνων.

§. 160.

Μετὰ ταῦτα, ἐξέρχεται ὁ Διάκονος διὰ τῆς Βορείας πύλης, ὅτι αἱ Βασιλικαὶ θύραι πρὸ τῆς Εἰσόδε ἐ διασέλλονται.

## ΜΕ΄ΡΟΣ ΔΕΥ΄ΤΕΡΟΝ

### ΤΗ͂Σ ΛΕΙΤΟΥΡΓΙ΄ΑΣ.

§. 161.

Ὁ Διάκονος, φωνῇ μεγάλῃ: Εὐλόγησον Δέσποτα. Ὁ Ἱερεὺς: Εὐλογημένη ἡ Βασιλεία τε͂ Πατρὸς, καὶ τε͂ Υἱε͂, καὶ τε͂ Ἁγίε Πνεύματος, νῦν καὶ ἀεὶ, ἢ εἰς τὲς αἰῶνας τῶν αἰώνων. Ὁ Χορὸς: Ἀμήν.

Ἅπασαν τῷ Θεῷ ἐν ἅπασι τὴν δόξαν οἱ ἄνθρωποι ὀφείλεσιν ἐπανάγειν· ἐξαιρέτως δὲ τὴν Ἱερὰν λειτεργίαν, ἐξ αὐτε͂ τε͂ Θεε͂ καταρχομένε τε καὶ ἐπευλογε͂ντος, δέον προοιμιάζεσθαι. (Χρυσός:

εἰς

εἰς τὴν Β΄, πρὸς Κορινθ: Ὁμιλ: Β΄. Καὶ ὁ θεῖος Κυπρια:, πρὸς Δημητριανὸν.)

§. 162.

Ὁ Διάκονος μεγάλῃ τῇ φωνῇ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν· ὁ Χορὸς: Κύριε ἐλέησον.

Πρὸς ἓν ἕκαστον τῆς Ἐκτενοῦς δεήσεως μέρος, ὁ Χορὸς, ἐν δέτισι τῶν Ἐκκλησιῶν, καὶ σύμπαν τῶν Χριστιανῶν τὸ κῦτος, ἐφ᾽ οἱασοῦν τῶν ἐν τῇ Ἐκτενεῖ προηγουμένης αἰτήσεως, ἀναφωνεῖ πρὸς Θεὸν μετὰ προσοχῆς ἀτενοῦς, τὸ: Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν Ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν· ὁ Χορὸς: Κύριε ἐλέησον. (Ὅρα Ἐκτενής.)

§. 163.

Ψάλλεται δὲ τὰ Ἀντίφωνα παρὰ τοῦ Χοροῦ. (Ὅρα Ἀντίφωνα.)

Ἐν τοῖς ψαλμοῖς τοῖς, ἐπὶ τῶν Ἀντιφώνων ψαλλομένοις, αἱ τοῦ Θεοῦ, καὶ τῆς περὶ ἡμᾶς αὐτοῦ Προνοίας περιεχόμεναι εἰσὶν αἰνέσεις. Μετ᾽ αὐτοὺς δὲ, ὑπὸ τοῦ Διακόνου ἐπιφωνοῦνται βραχεῖαι τινὲς ἱκεσίαι, Συναπταὶ καλούμεναι μικραί. Ἐν δὲ δὴ τοῖς ψαλμῳδήμασι τούτοις, ἀναγινώσκονται

κονται ὑπὸ τȣ̃ Ἱερέως μυστικῶς, ἤτοι ἡσύχως, Εὐχαί τινες, αἱ ταῖς ἐπιφωνȣμέναις Ἱκετηρίαις προσφυῶς ἐφαρμόζȣσαι. (Σωκρά: Βιβλ: ς΄. Κεφ: Η΄.)

§. 164.

Μετὰ τὸ Δεύτερον τῶν Ἀντιφώνων, ᾄδεται τὸ Τροπάριον: Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεȣ̃. κτ: Ποιητὴς δὲ τȣ̃ Τροπαρίȣ τȣ́τȣ (ὡς ὁ Ἱστορικὸς διεξεισι Κεδρηνὸς.) νομίζεται ὁ Αὐτοκράτωρ Ἰȣστινιανὸς. Ὅς τὸν ἐν Κωνσταντινȣπόλει μεγαλοπρεπέστατον Ναὸν ἐγείρας, ἀνέθετο τῇ ΣΟΦΙΑι τȣ̃ ΘΕΟΥ. Διὸ καὶ τὸ Ἆσμα τόδε ἐπὶ τῆς Λειτȣργίας ᾄδεσθαι διεθέσπισεν, ὡς τὴν τȣ̃ Θεȣ̃ καὶ Πατρὸς Σοφίαν ἀνακηρύττον· ἤτοι τὸν Υἱὸν ἅ τȣ̃ καὶ Λόγον, τὸν ἐκ τῆς Ἁγιωτάτης ᾀειπαρθένȣ Μαρίας ἐνανθρωπήσαντα.

§. 165.

Ἐνταῦθα αἱ Βασιλικαὶ πύλαι ἀνοίγονται· καὶ τȣ̃ Χορȣ̃ τὸ Τρίτον τῶν Ἀντιφώνων, ἤ τȣ̀ς Μακαρισμȣ̀ς ἐπᾴδοντος, ὁ Ἱερεὺς λαβὼν τὸ Ἅγιον Εὐαγγέλιον δίδωσι τῷ Διακόνῳ, καὶ χωρȣ̃σιν ἀπὸ δεξιῶν τῆς Ἁγίας Τραπέζης πρὸς τὰ εὐώνυμα. Ἐξελθόντες δὲ διὰ τȣ̃ Βορείȣ

μέρȣς,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μέρȢς, προπορευομένων αὐτῶν λαμπαδηφόρων, ποιȢ̃σι τὴν Μικρὰν Εἴσοδον.

Μικρὰ δὲ Εἴσοδος λέγεται, ὥςγε πρὸς τὴν εἰς τὸ Θυσιαςήριον μετὰ τῶν Δώρων γινομένην εἰσέλευσιν· ἥτις Εἴσοδος Μεγάλη διὰ τȢ̃το καλεῖται, ὡς ἀρχήτις Ȣ̓̃σα τῆς, πρὸς κοινωνίαν τȢ̃ παναχράντȢ Μυςηρίȣ, τελετȣργίας.

§. 166.

Ἐξ Ἀρχαίων ἀναφαίνεται Συγγραφέων, ὅτι τὴν τῶν Ἱερῶν Εὐαγγελίων Ἁγίαν Βίβλον, ἐν ᾧ τὰ τῆς Ἱερȣργίας ἐτελεῖτο, ἐπὶ της Προθέσεως, σὺν ἅμα τοῖς λοιποῖς τῶν Ἱερῶν Σκευῶν, εἰωθὸς ἦν ἀποκεῖσθαι: Ἔνθεντοι καὶ αὐτὴ, καθάπερ Ȣ̓̃ν καὶ τὰ ἄλλα, ἐπὶ τὸ Θυσιαςήριον μετεκομίζετο διὰ τὴν Ἀνάγνωσιν. Καὶ τȢ̃το δὲ γίνεται δῆλον τῇ διατυπώσει τῆς ΛειτȢργίας τῶν Προηγιασμένων· ἐν ταύτῃ γὰρ τὸ Εὐαγγέλιον Ȣ̓κ ἐκκομίζεται, εἰμὴ ὅτε, διὰ τὴν συγκυρȢ̃σαν Ἑορτὴν, δεὸν ἀναγινώσκεσθαι. (Ὅρα §. 25. 26) Ἡ δὲ τȢ̃ Εὐαγγελίȣ ἐκκομιδὴ ἀπὸ τȢ̃ Ἱερατείȣ ἐπὶ τὸν Ἄμβωνα, τὴν Εὐαγγελικὴν Διδασκαλίαν σημαίνει παρὰ ΘεȢ̃ προεληλυθέναι· Τὴν ἱκαῦτα δὲ καὶ ἐκ τῶν

Κανόνων τῶν Ἁγίων, ὧν ἡ Ἑόρτιος ἄγεται μνήμη, ἡ τρίτη ᾠδὴ ἐπαναγινώσκεται, καὶ ἡ ἕκτη, διὰ τὸ, ἐκ Διατάξεως Ἐκκλησιαστικῆς, μεταξὺ τρίτης καὶ ἕκτης ὥρας τῆς ἡμέρας τὴν Λειτουργίαν τελεῖσθαι· ἤ γοῦν, μετὰ τὴν τῆς ἐν τῇ ἀκολουθίᾳ Τριθέκτης Ὥρας ἀνάγνωσιν.

Ὁ οὖν Ἱερεὺς, πρὶν ἢ εἰσέλθῃ εἰς τὸ Θυσιαστήριον, κλίνας τὴν κεφαλὴν, λέγει τὴν Εὐχὴν τῆς Εἰσόδου μυστικῶς: Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν Οὐρανοῖς τάγματα καὶ στρατιὰς Ἀγγέλων, κτ: Δηλοῦται δὲ διὰ τῆς Εὐχῆς ταύτης, ὅτι ἡ εἰς τὸ Ἱερὸν Βῆμα Εἴσοδος, τῆς εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσελεύσεως ἐστὶν ἐπιδήλωσις. Καὶ καθάπερ ἐν οὐρανοῖς τάγματα, καὶ στρατιαὶ Ἀγγέλων τε καὶ Ἀρχαγγέλων τῷ θρόνῳ τοῦ Κυρίου τῆς δόξης παρίστανται, τῶν διηνεκῶς τὴν αἴνεσιν Θεῷ ἀναπεμπόντων, καὶ τῇ αὐτοῦ μεγαλωσύνῃ λειτουργούντων, οὕτω καὶ ὁ Ἱερεὺς, ἢ ὁ Ἀρχιερεὺς, εἰσιὼν εἰς τὸ Βῆμα τὸ Ἅγιον, καθάπερεὶ καὶ εἰς Οὐρανὸν Μυστικὸν εἰσελευσόμενος, ἐπὶ τῷ προσενεγκεῖν τῷ Κυρίῳ τῶν Δυνάμεων Θυσίαν αἰνέσεώς τε καὶ ἐξομολογήσεως, Ἀγγέλους μεθ᾽

ἑαυτῷ ἔχειν καθικετεύει συλλειτουργοῦντας αὐτῷ, καὶ τὴν τοῦ Θεοῦ ἀγαθότητα συμμεγαλύνοντας. Μετὰ δὲ τοῦτο, ὁ Ἱερεὺς τῷ Διακόνῳ τὴν Εἴσοδον ἐπευλογήσας λέγει: Εὐλογημένη ἡ εἴσοδος τῶν Ἁγίων Σου κτ: Δι' ὧν δὴ ῥημάτων, εἰς τὸ Θυσιαστήριον, ὡς εἰς τὰ Ἅγια τῶν Ἁγίων, (ἔνθα σὺν εὐχαῖς τε καὶ ὕμνοις, ἐν ἀκεραίῳ καὶ ὁλοκλήρῳ τῷ συνειδότι, ἡ ἀναίμακτος ἐστὶ θυσία προσενεκτέα·) αὐτῷ εἰσιόντι τὴν ἀγαθοποιὸν χάριν παρὰ Θεοῦ ἐξαιτούμενος, παραινεῖ ἅμα, ἡλίκῃ τε καὶ ὁποίᾳ ψυχῆς καθαρότητι, τῇ Ἱερᾷ Τραπέζῃ δέον προσέρχεσθαι. Ἐν μὲν οὖν τῷ ἐν Ἱεροσολύμοις Ναῷ, λαμπαδοφόροι ἐκ τῆς Βορέου πύλης προεξιόντες, καὶ πρὸ τῶν Βασιλικῶν θυρῶν στάντες, (τοῦ Διακόνου βοῶντος: Σοφία, ὀρθοί.) ἀνοίγουσιν ἔμπροσθεν τοῖς Λειτουργοῖς ἐπεισερχομένοις αὐτάς. Ἐκ δὲ τούτου δείκνυται, ὅτι ἄρα τὸ Εὐαγγέλιον ἀπὸ τῆς Προθέσεως, οὗ ἀπέκειτο, ἐπὶ τῆς Ἁγίας Τραπέζης μετεκομίζετο. (Ὅρα §. 57.)

§. 167.

Πληρωθέντος δὲ τοῦ τελευταίου Τροπαρίου, πρόεισιν ὁ Διάκονος εἰς τὸ μέσον, καὶ στὰς ἔμπροσθεν τοῦ Ἱερέως, αἴρει μικρὸν,

ρὸν τὰς χεῖρας, καὶ δεικνὺς τὸ Ἅγιον Εὐαγγέλιον, λέγει μεγαλοφώνως: Σοφία! ὀρθοί· εἶτα εἰσέρχονται εἰς τὸ Ἅγιον Βῆμα: καὶ ὁ Διάκονος ἀποτίθησι τὸ Ἱερὸν Εὐαγγέλιον ἐν τῇ Ἁγίᾳ Τραπέζῃ. (Ὅρα §. 59.)

§. 168.

Οἱ δὲ ψάλται ᾄδουσι: Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν Χριστῷ. κτ:

Διὰ τοῦδε τοῦ Ἄσματος, οἵτε τοῦ Βήματος ἐντὸς εἰσιόντες, καὶ οἱ ἔξωθεν παρεστῶτες, προδιατίθενται εἰς τὸ μετὰ εὐλαβείας ἁπάσης προσαγαγεῖν τῷ Θεῷ τὴν λατρείαν, τῷ τὰς Εὐαγγελικὰς ἡμῖν ἀληθείας ἀποκαλύψαντι. Πρὸς δὲ τοῦ Ἐπισκόπου, τὴν λειτουργίαν, εἰ τύχοι, ἐπιτελοῦντος, ἐπισημότερόν πως τὸ αὐτὸ Ἆσμα συνεπιᾴδεται. Ἔιθιστο γὰρ πάλαι τὸν Ἀρχιερέα περιφανεῖ τῇ προόδῳ ἐπὶ τὸ Ἱερὸν Βῆμα προπέμπεσθαι. (Ἀνάγνωθι ἐν ταῖς τῶν Ἁγίων Βιογραφ: Μὴν: Δεκεμβρ: Σελ: 160.)

§. 169.

Εἶτα ἐπαναγινώσκεται τὰ συνήθη Τροπάρια. δι' ὧν, μετὰ τὴν εἰς Θεὸν προσενεχθεῖσαν προσκύνησιν, τῶν κατὰ τὴν ἡμέραν ἐκείνην ἑορτάζεσθαι λαχόντων Ἁγίων ὀνομαστὶ γίνεται μνεία.

§. 170.

§. 170.

Καὶ ὁ Διάκονος τῷ Ἱερεῖ τὸν τῦ Τρισαγίυ ὕμνυ ὑπαγορέυει καιρὸν.

§. 171.

Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ: Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνέυματι, νῦν καὶ ἀεὶ, κτ:

§. 172.

Καὶ ὁ Διάκονος ἐπ᾽ ἀυταῖς ἔσωςταῖς Ἁγίαις πύλαις, κράζει: Κύριε σῶσον τὺς ἐυσεβεῖς, καὶ ἐπάκυσον ἡμῶν: ἱκετέυων δηλονότι, ὡς ἐκ σιγώσης τῶν παρεςώτων συμπνοίας, τὸν Κύριον, ἵν᾽ ἐπικαμφθεὶς ταῖς τῶν εἰς αὐτὸν πιςευόντων ἐυσεβέσι δεήσεσιν, ἐυμενῶς αὐτῶν ἐπακύσειεν.

Ἔπειτα τῦ Κλήρυ τὸν Τρισάγιον ὕμνον ᾄδοντος, ὁ Ἱερεὺς ἀντιβολεῖ Θεὸν, ὗ τὴν δόξαν αἱ Ὀυράνιαι Δυνάμεις ἀσιγήτως ὑμνῦσιν, ἵνα καὶ παρὰ τῶν εἰς αὐτὸν πιςευόντων τὺς ὕμνυς καὶ τὴν δοξολογίαν προσδέξαιτο· Ἡ γὰρ Ἐκκλησία τὰς ἑαυτῆς φωνὰς ταῖς τῶν Ἀγγέλων συνάπτυσα, τὰς αὐτὰς ταῖς ἐκείνων αἰνέσεις παρίςαται τῷ Θεῷ προσάγυσια. Ἐπεὶ δὲ κατ᾽ αυτὸ τῦ χρόνυ καὶ οἱ Με-

ταναῦν-

τανοῦντες παρῆσαν, καὶ οἱ Κατηχούμενοι, διὸ, τούτων χάριν, ὡς τοῦ Θείου καὶ αὐτῶν ἐλέους ἐφιεμένων, προςίθεσθαι τῷ Ἄσματι εἰώθει, τό: Ἐλέησον ἡμᾶς (Ὅρα ἐν τοῖς Μαργαρίταις, ἐν Λόγῳ Β΄. περὶ τῶν Σεραφίμ: Σελ: 147.)

§. 173.

Ἐφεξῆς δ᾽ ὁ Διάκονος λέγων τῷ Ἱερεῖ: Κέλευσον Δέσποτα: ὑπομιμνήσκει τὸν καιρὸν, τοῦ ἐπὶ τὴν ἀνωτέρω Καθέδραν αὐτὸν ἀπελθεῖν.

§. 174.

Ὁ δ᾽ Ἱερεὺς ἀπερχόμενος λέγει: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ ὁ Διάκονος: Εὐλόγησον Δέσποτα τὴν ἄνω Καθέδραν. Καὶ ὁ Ἱερεὺς ἐν τῷ ἀπέρχεσθαι, λέγει τὸ Δοξολόγημα τό δε: Εὐλογημένος εἶ, ὁ ἐπὶ θρόνου δόξης κτ:

§. 175.

Ὁ Διάκονος ἀνακράξας: Πρόσχωμεν, διεγείρει τοὺς παρεστῶτας εἰς προσοχὴν ἐπὶ τῇ Ἀναγνώσει τῶν Ἀποστολικῶν Ἐπιστολῶν. Ὁ δὲ Ἱερεὺς, ἢ ὁ Ἀρχιερεὺς, εἰ τύχοι, στὰς ἐπὶ τοῦ τῆς Τραπέζης ἐπέκεινα Τόπου, λέγει: Εἰρήνη πᾶσι. Τὸ δέ τοι πρόσφθεγμα τοῦτο, ἀπὸ τοῦ στόματος ἐστὶ προελθὸν αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν, ὃς καὶ

πρὸ

πρὸ τοῦ θανάτου (Ἰω: Κεφ: ΙΔ΄. 17.) καὶ μετὰ τὴν Ἀνάστασιν αὐτοῦ, τοῖς Μαθηταῖς ἐπιστὰς, (Κεφ: ΙΘ΄. 21:) τὴν αὐτοῦ εἰρήνην αὐτοῖς ἐδωρήσατο, προσεντεταλκὼς καὶ τοὺς ἄλλους τῇ αὐτῇ προσρήσει ἀσπάζεσθαι, (Λουκ: Κεφ: Ι΄. 5.) Τοιγαροῦν τὸ παράδειγμα, ἢ μᾶλλον εἰπεῖν, τὸ ἔνταλμα τόδε, οἵτε Ἀπόστολοι, καὶ οἱ τούτων καθεξῆς Διάδοχοι, τοῦ διατηρεῖν οὐκ ἔστιν ὅτε παρέλιπον· Ἀεὶ γὰρ ἀνέκαθεν ἡ Ἐκκλησία τῷ τοιῷδε προσφθέγματι προσεχρήσατο, οἷον τινὶ σημείῳ τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας, τοῦ εὐμενῶς ἀποδεχομένου τὴν τῶν εὐσεβῶν πίστιν καὶ ὁσιότητα.

§. 176.

Τότε δὴ καὶ ὁ Ἀναγνώστης τὸ ἐκ τοῦ Δαβιδικοῦ ψαλμοῦ ληφθὲν λέγει Προκείμενον· Μεθ᾽ ὅ, ὁ Διάκονος: Σοφία. (Ὅρα §. 61.)

§. 177.

Ἐφεξῆς δὲ, ἡ ἐξ Ἐπιστολῆς τινὸς, ἢ ἐκ τῶν Πράξεων τῶν Ἀποστόλων Ἀνάγνωσις.

Γράφει δὲ ὁ Θεῖος Χρυσόστομος (ἐν Ὁμιλ: τῇ εἰς τὰς Πράξεις . . . . ) ὡς ὑπὸ τῶν Πατέρων τεθέσπισται, ἵνα ἡ

τῶν

τῶν Ἀποϛολικῶν Πράξεων Βίβλος ἄχρι τῆς Πεντηκοϛῆς ἀναγινώσκηται. Ἐξ ἧ δῆλον γίνεται, τάς τε Πράξεις τῶν Ἀποϛόλων, καὶ τὰς Ἐπιϛολὰς, εἰς Τμήματά τινα, ἤτοι εἴς τινας Ἀναγνωσμάτων περικοπὰς, ἔκπαλαι διῃρῆσθαι. Τῦτ' ὃ καὶ περὶ τῶν Εὐαγγελίων ἡγεῖσθαι χρή.

§. 178.

Τῷ Ἀναγνώϛῃ τὸ Ἀποϛολικὸν ὕφος διελθόντι, ὁ Ἱερεὺς λέγει: Εἰρήνη Σοί. Ὁ δὲ ἀποκρίνεται: Καὶ τῷ Πνεύματί Σȣ. Καὶ ὁ Διάκονος: Σοφία: Καὶ ὁ Ἀναγνώϛης: Ἀλληλȣ̈ία.

Τὸν δ' ὕμνον ὁ Χορὸς ὑποδεξάμενος ἐπαναλαμβάνει τὸν αὐτὸν, τὰς τῶν παρεϛώτων ψυχὰς ȣ̃τωπως διὰ τῆς ψαλμῳδίας διεγείρων, ὅπως ἂν θερμοτερας τῷ Θεῷ προσαγάγοιεν τὰς Εὐχαριϛίας, ὑπὲρ τῶν ȣ̃τω Σωτηρίων ἀληθειῶν, ἅς περ ἀποκαλύψαι τοῖς ἀνθρώποις ηὐδόκησεν.

§. 179.

Ἐν τȣ́τῳ λαβὼν ὁ Διάκονος τὸ θυμιατήριον, καὶ τὸ θυμίαμα, πρόσεισι τῷ Ἱερεῖ, καὶ λαβὼν ἐυλογίαν παρ' αὐτȣ̃. θυμιᾷ τὴν Ἁγίαν Τράπεζαν γυρόθεν,

καὶ τὸ Ἱερατεῖον ὅλον, καὶ τὸν Ἱερέα. (Ὅρα Θυμίασις.)

§. 180.

Ὁ δὲ Ἱερεὺς λέγει πρό τȣ̃ Εὐαγγελίȣ τὴν Εὐχήν: Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν Φιλάνθρωπε Δέσποτα τὸ τῆς Σῆς Θεογνωσίας ἀκήρατον φῶς, καὶ τȣ̀ς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμȣ̀ς εἰς τὴν τῶν Εὐαγγελικῶν Σȣ κηρυγμάτων κατανόησιν. κτ:

Ὧδέπως ὁ Ἱερεὺς Θεὸν ἱκετεύει, τοῖς παρεςῶσι δύναμιν παραχεῖν, τȣ̃ τὰς Εὐαγγελικὰς ἀληθείας, καὶ κατανοεῖν κὶ φυλάττειν.

§. 181.

Ὁ δ' Ἱερεὺς πρὸ τῆς Ἁγίας Τραπέζης, πρὸς δυσμὰς βλέπων, ἐκφωνεῖ: Σοφία, Ὀρθοὶ Ἀκȣ́σωμεν τȣ̃ Ἁγίȣ Εὐαγγελίȣ. Εἰρήνη πᾶσιν. ὁ δὲ Λαὸς: Καὶ τῷ πνεύματί Σȣ. Καὶ ὁ Διάκονος: Ἐκ τȣ̃ κατὰ (τὸν δεῖνα) Ἁγίȣ Εὐαγγελίȣ τὸ Ἀνάγνωσμα. Καὶ ὁ Χορὸς: Δόξα Σοὶ, Κύριε δόξασοι. Καὶ ὁ Ἱερεὺς: Πρόσχωμεν.

Ὁ Σκοπὸς δὲ τῆς πρὸς τȣ̃ Ἱερέως παραινετικῆς ἐκφωνήσεως ἐςὶν: ἵνα οἱ πιςοί, οἱ τῆς Σοφίας τȣ̃ Ἁγίȣ Εὐαγγελίȣ ἀκροασόμενοι, ȣ̓δὲν τι ἧττον τῇ ψυχῇ ςῶσιν ὄρθιοι, ἤ τῷ σώματι. Καὶ πάλαι

λαι μὲν εἰώθεσαν, τῶν Ἀποϛολικῶν ἀκροᾶσθαι Διδασκαλιῶν καὶ καθήμενοι. Νῦν δὲ τοὺς πιϛοὺς ὁ Ἱερεὺς προτρέπεται, τῇ ἀκροάσει τῆς Εὐαγγελικῆς Διδασκαλίας ὑπέχειν τὰ ὦτα ὀρθίοις ἱϛαμένους καὶ τοῖς πόδεσιν.

§. 182.

Τῆς δὲ τοῦ Εὐαγγελίου Ἀναγνώσεως πληρωθείσης, ὁ Ἱερεὺς λέγει τῷ Διακόνῳ: Εἰρήνη Σοὶ τῷ Εὐαγγελιζομένῳ. Ὁ Χορὸς δέ: Δόξα Σοι, Κύριε, δόξα Σοι.

Πρό τε τῆς τοῦ Εὐαγγελίου ἀναγνώσεως, καὶ μετ᾽ αὐτὴν ὁ Χορὸς, ὡς ἐκ συμπάντων τῶν παρεϛηκότων, δόξαν ἀναπέμπει Κυρίῳ, ἐκ ψυχῆς εὐγνώμονος, τῷ τῆς Σωτηριώδους ἀκροάσεως τοῦ Ἁγίου Εὐαγγελίου τοὺς ἀνθρώπους καταξιώσαντι, κράζων: Δόξα Σοι Κύριε δόξα Σοι. Καὶ ὁ Θεῖος δὲ Χρυσόϛομος (ἐν Ὁμιλ: τῇ περὶ τοῦ Θεατρικοῦ Κίρκου) φησίν: ὡς ἐπειδὰν ὁ Διάκονος τοῦ δρόμου τῆς Ἀναγνώσεως ἐνάρξηται, εὐθέως διανιϛάμεθα ἡμεῖς, ἐπιφωνοῦντες: Δόξα σοι Κύριε.

§. 183.

Καὶ μετὰ τὴν ἀνάγνωσιν ὁ Διάκονος ἐλθὼν ἕως τῶν Ἁγίων θυρῶν, ἀποδίδωσι

ποδίδωσι τὸ Ἅγιον Εὐαγγέλιον τῷ Ἱερεῖ.

Τὸ πάλαι, ἔτι ἐκ τῶν Ἀποςολικῶν Ἐπιςολῶν, ἢ ἐκ τȣ̃ Εὐαγγελίȣ μέρος ἀνεγινώσκετο, τὸ αὐτὸ καὶ ἐπανεπτύσσετο, ȣ̓ μόνον τοῖς πιςοῖς, ἀλλὰ καὶ τοῖς ἔτι Κατηχȣμένοις· καὶ τοῖς ἐν μετανοίᾳ δὲ ȣ̃σιν, εἰς χρῆσιν ἐσόμενον. Ἐν γὰρ τοῖς Ἀποςολικοῖς Κανόσι Βιβλ: Β. Κεφ: ΝΓ΄. γέγραπται: Καὶ ὅταν ἀναγινωσκόμενον ᾖ τὸ Εὐαγγέλιον, πάντες οἱ Πρεσβύτεροι, καὶ οἱ Διάκονοι, καὶ πᾶς ὁ Λαὸς, ςηκέτωσαν μετὰ πολλῆς ἡσυχίας· Γέγραπται γάρ: σιώπα, καὶ ἄκȣε Ἰσραήλ. Καὶ πάλιν: Σὺ δὲ αὐτȣ̃ ςῆθι, καὶ ἀκȣ́ση. Καὶ ἑξῆς: παρακαλείτωσαν οἱ Πρεσβύτεροι τὸν Λαὸν, ὁ καθ᾽ εἷς αὐτῶν, ἀλλὰ μὴ ἅπαντες· καὶ τελευταῖος πάντων ὁ Ἐπίσκοπος, ὃς ἔοικε Κυβερνήτῃ. Περὶ τȣ́τȣ δὲ καὶ ὁ θεῖος διείληφε Χρυσόςομος. (ἐν Ὁμιλ: Β΄. τῶν εἰς τὸν Ἡσαΐαν. Καὶ ἐν ΛΓ΄. τῶν περὶ Μετανοίας.)

§. 184.

Καὶ κλείονται αὖθις αἱ Ἱεραὶ πύλαι. Ἐπειδὴ γὰρ τὸ Θυσιαςήριον τόπος ἐςὶν ἰδιαίτερος, ἐν ᾧ τὰ δῶρα ἁγιάζεται τελειȣ́μενα· τὸ δὲ μέρος τόδε τῆς Τελετȣργίας, τὰς κοινῇ ὑπὲρ παντὸς τȣ̃ τῆς Ἐκκλησίας πληρώματος προσφερομένας περιέ-

περιέχει δεήσεις, διὰ τῦτο τὰς Ἁγίας πύλας δέον ἐπιζυγῦσθαι.

§ 185.

Καὶ ϛὰς (ὁ Διάκονος) ἐν τῷ συνήθει τόπῳ, τῆς διττῆς ἄρχεται Ἐκτενῦς. Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τὰς αἰῶνας τῶν αἰώνων. Ὁ Χορός: Ἀμήν.

Διττὴ δὲ ἡ Ἐκτενὴς καλεῖται, ὡς τῆς προτέρας ὖσα οἱονεὶ ἐπανάληψις, τὴν τῶν παρεϛώτων ἐπιμαρτυρῦσα μείζονα εἰς τὸ Θεὸν καθικετεύειν, ἐπίτασιν. Ἐν ταύτῃ γὰρ, ὡς κἀν ταῖς Λιτανικαῖς προόδοις τε καὶ δεήσεσιν, (ὅρα Λιτὴ, Λιτανία.) τὸ Κύριε ἐλέησον, ὐχ ἅπαξ ἐπᾴδεται. Διὸ καὶ ὁ Ἱερεὺς αὐτὴν, ἐπὶ τῆς μυϛικωτέρας εὐχῆς, ἀποκαλεῖ Ἐκτενῆ οἷον ἐπίμονον καὶ ἐκτεταμένην εἰπεῖν ἱκεσίαν. (Χρυσός. εἰς τὴν Β΄. πρὸς Κορινθ: Ὁμιλ: Β΄.) Ἡ δ᾽ αὐτὴ, ἥτις περὶ τὸ τέλος τῆς τῶν ὕμνων ἀκολυθίας ἔωθεν ἀναγινώσκεσθαι, λέγεται δὴ κἀνταῦθα, διὰ τὸ ἤδη τῆς Λειτυργίας τὸ μέρος τὸ Δεύτερον, τὸ τὰς κοινὰς περιέχον Αἰτήσεις,

περαί-

περαίνεθαι· ἐν αὐτῇ δὲ ταύτῃ καὶ αἱ ὑπὲρ ὄμβρου τε, καὶ αὐχμοῦ, καὶ εὐκρασίας ἀέρων, καὶ αἱ ὑπὲρ τῶν προαναπαυσαμένων κτ: Ἱκεσίαι τε καὶ δεήσεις περιέχονται.

§. 186.

Ὁ Διάκονος: Εὔξαθε οἱ Κατηχέμενοι τῷ Κυρίῳ· ὁ Χορὸς: Κύριε ἐλέησον. ὁ Διάκονος: Οἱ πιστοὶ, ὑπὲρ τῶν Κατηχουμένων δεηθῶμεν. — Ἵνα ὁ Κύριος αὐτοὺς ἐλεήσῃ κτ:

Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ: Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου, τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ὁ Χορὸς: Ἀμήν. Καὶ τότε δὴ ὁ Ἱερεὺς ἐξαπλοῖ τὸ Εἰλητὸν (Ἀντιμήσιον.)

Τοῦτο δὴ τὸ μέρος τῆς τῶν Κατηχουμένων Λειτουργίας, ἀποτερματίζεται διὰ τῆς Ἐκτενοῦς, ἐν ᾗ αὐτοὶ ἐπιτάσσονται τῆς Ἐκκλησίας ἤδη ἐξέρχεσθαι. Ἐξ οὗ καθίσαται δῆλον, ὅτι τὸ τελευταῖον τῆς Λειτουργίας μέρος τελεῖται ὑπὲρ τῶν μελλόντων κοινωνήσειν διὰ τῆς Μεταλήψεως. Ἀκούεις ἑστῶτος τοῦ κήρυκος, καὶ λέγοντος: ὅσοι ἐν μετανοίᾳ, ἀπέλθετε πάντες. Τίνος οὖν ἕνεκα λέγει, ἀπέλθετε οἱ μὴ δυνάμενοι δεηθῆναι; Τράπεζα πάρεστι Βασιλική· Ἄγγελοι διακονοῦμενοι τῇ Τραπέζῃ· Αὐτὸς ὑπάρχει ὁ Βασιλεὺς, καὶ Σὺ ἕστηκας χασμώμενος.

μενος; (ἐν τῇ πρὸς Ἐφεσ: Ἐπις: Ὁμιλ: Γ΄.) (Ὁ Θεῖος Χρυσ:) Ὑπὲρ τῶν ἐνεργȣμένων, ὑπὲρ τῶν ἐν μετανοίᾳ, κοιναὶ καὶ παρὰ τȣ̃ Ἱερέως, καὶ παρ᾽ αὐτῶν γίνονται αἱ εὐχαί· καὶ πάντες μίαν λέγȣσιν εὐχὴν, τὴν ἐλέȣς γέμȣσαν. . . Πάλιν, ἐπειδὰν εἴρξωμεν τῶν Ἱερῶν περιβόλων τȣ̀ς ȣ̓ δυναμένȣς τῆς ἱερᾶς μεταχεῖν τραπέζης, ἑτέραν δεῖ γενέϑαι εὐχὴν, καὶ πάντες ὁμοίως ἀνιςάμεθα. (ἐν τῇ Β΄. πρὸς Κορινθ: Ὁμιλ: ΙΗ΄.)

Δῆλον δ᾽ ἔτι ἐντεῦθεν, ὡς ὑπ᾽ ὀνόματι τῶν Κατηχȣμένων, ȣ̓ μόνȣς τȣ̀ς πρὸς τὸ Βάπτισμα μυςαγωγȣμένȣς χρὴ ἐννοεῖν, ἀλλὰ καὶ πάντας τȣ̀ς ἐν μετανοίᾳ ὄντας· καὶ τȣ̀ς ὑπὸ ἐπιτιμίοις, ἤτοι ποιναῖς καὶ ἱκανοποιήσεσιν. Ἐν δὲ τῇ Ἐκκλησίᾳ πάλαι τοῖς Κατηχȣμένοις συγκατατασσόμενοι διετέλȣν, κ̀ οἱ πρὸς τὴν μετάληψιν ἑαυτȣ̀ς παρεσκευασμένȣς μὴ παρεχόμενοι. Διὰ τȣ̃το οὖν, καὶ τῶν ἐπὶ τῷ βαπτισθῆναι κατηχȣμένων μηδαμῶς παρεςώτων, ȣ̓δὲν ἧκιςα καὶ νῦν ἔτι ἀναγινώσκεται ἡ Ἐκτενὴς, διὰ τȣ̀ς ὑπὸ Ἐκκλησιαςικοῖς Ἐπιτιμίοις, καὶ τȣ̀ς ἐν μετανόιᾳ διάγοντας.

Αἱ δὲ λοιπαὶ εὐχαὶ, αἱ ὑπὲρ τῶν Κατηχȣμένων, τῶν ἐπισυναφθήσεσθαι τῇ Ἐκκλησίᾳ μελλόντων γινόμεναι, ἀναφέρον-

φέρονται καὶ πρὸς τὰς ἐν ἑτέραις ἂν Ἐκκλησίαις ἔτι ὑπὸ κατηχῆσαι τυγχάνοντας.

# ΜΕ'ΡΟΣ ΤΡΙ'ΤΟΝ

## ΤΗ͂Σ ΘΕΙ'ΑΣ ΛΕΙΤΟΥΡΓΙ'ΑΣ.

§. 187.

Τὸ δὲ μέρος τοῦτο τῆς Λειτουργίας ἐνάρχεται ταῖς ὑπὲρ τῶν πιστῶν εὐχαῖς καὶ δεήσεσιν, ἃς ὁ Ἱερεὺς τὸ Εἰλητὸν ἐξαπλώσας προσφέρει Θεῷ, ἵνα τοῖς ἐξημαρτημένοις συγγνώμην διδοὺς, ἀξιώσειε τοὺς πιστοὺς, διὰ τῆς ἐπιτελουμένης Ἱερουργίας ἀκατακρίτως τῆς τῶν ἀχράντων Μυστηρίων μεταχεῖν χάριτος.

§. 188.

Ἄδεται ὁ Χερουβικὸς Ὕμνος.

Διὰ δὴ τοῦ τοιούτου ὕμνου οἱ παρεστῶτες ὑπομιμνήσκονται, ἵνα ἐν Χερουβικῇ ψυχῆς ἁπλότητι καὶ ἀκεραιότητι, Θεὸν τὸν Τριαδικόν τε καὶ ἑνιαῖον ἀνυμνολογοῦντες, ἅπασαν ἐγκόσμιον ἀποσκευάσωνται μέριμναν, ὡς ὑποδέξεσθαι μέλλοντες

τὸν Βασιλέα τῶν πάντων, ὑπὸ πασῶν τῶν Ἀγγελικῶν Δυνάμεων μετὰ αἰδοῦς τε καὶ δέους ἀκροτάτου δορυφορούμενον. Τὸν αὐτὸν δέ τοῦτον ὕμνον ὅ, τε Ἱερεὺς, καὶ ὁ Διάκονος τρὶς ἐπαναλαμβάνουσιν· ὅπως ἂν καὶ αὐτοὶ δηλονότι, ἐν καθαρᾷ τῇ ψυχῇ καὶ τῇ διανοίᾳ, ἑαυτοὺς τῷ θρόνῳ τοῦ Θεοῦ παραστήσωσιν. Ἀλλὰ γὰρ ἐπὶ τῆς τοῦ Μεγάλου Βασιλείου Λειτουργίας, τῆς ἐν τῷ Μεγάλῳ Σαββάτῳ τελουμένης, ψάλλεται τὸ: Σιγησάτω πᾶσα Σὰρξ κτ: Ὅς δήπου ὕμνος, καὶ οὗτος, ταὐτὰ τῷ Χερουβικῷ ἐκείνῳ περιέχων ἐστὶ, πλὴν τινῶν προστεθεισῶν Φράσεων, δι᾽ ὧν τὸ σωτήριον Πάθος διενσημαίνεται. Ἐν δὲ τῇ πέμπτῃ τῆς Μεγάλης Ἑβδομάδος ἡμέρᾳ, ἀντὶ τοῦ Χερουβικοῦ ὕμνου ψάλλεται τὸ Ἆσμα, δι᾽ οὗ ὁ τοῦ Κυρίου Μυστικὸς δεῖπνος παρίσταται.

§. 189.

Ἀνοίγονται δὲ καὶ αὖθις αἱ Ἅγιαι πύλαι. (α)

Λαβὼν δὲ ὁ Διάκονος τὸν Θυμιατὸν, καὶ θυμίαμα βαλὼν, πρόσεισι τῷ Ἱερεῖ, καὶ λαβὼν εὐλογίαν παρ᾽ αὐτοῦ, θυμιᾷ τὴν Ἁγίαν Τράπεζαν γύρωθεν, καὶ τὸ Ἱερατεῖον ὅλον, καὶ τὸν Ἱερέα: λέγων

μεταξὺ

μεταξὺ καὶ τὸν Πεντηκοςὸν ψαλμὸν, καί τινα Τροπάρια Κατανυκτικὰ, ὅσα καὶ βέλεται, μετὰ τȣ̃ Ἱερέως.

(α) Διά τȣ̃το δὲ αἱ Ἱεραὶ πύλαι ἀνοίγονται· Δεῖ γὰρ ἤδη τὰ προπαρασκευαϑέντα Δῶρα, ἀπὸ τῆς Προϑέσεως μετακομιϑῆναι ἐπὶ τὸ Θυσιαςήριον. Ἡ γὰρ Πρόϑεσις πάλαι ἐν τῷ Ναῷ, χωρὶς ὑπῆρχεν ἀποκειμένη ἀπὸ τȣ̃ Ἁγίȣ Βήματος. (Ὅρα §. 21. 22.) Ἐπεὶ δὲ καὶ τότε ἡ τῶν τοιȣ́των Δώρων μετακόμισις, ἐνώπιον τȣ̃ Λαȣ̃ ἐτελεῖτο, διὰ τȣ̃το καὶ νυ̃ν, ἐν τῷ μετακομίζειν ἐκεῖνα, διέρχονται ἔμπροσϑεν τῶν ἐν τῷ Ναῷ παριςαμένων οἱ μεταφέροντες. Ὁ δὲ Ἀρχιερεὺς τȣ̃ Χερȣβικȣ̃ ὕμνȣ προσᾳδομένȣ, νίπτει τὰς ἑαυτȣ̃ χεῖρας, εὐχόμενος τὸ μεταξὺ, ὅπως ὁ Θεὸς διὰ τῆς αὐτȣ̃ εὐλογίας τὸ ὕδωρ, πρὸς ἁγιασμὸν τῶν παρεςώτων αὐτῷ ἁγιάσειεν. Ἅπαντας καὶ γὰρ πάλαι ἐπὶ τῆς Ἱερȣργίας, ὁπόσοι ἑαυτȣ̀ς εἰς κοινωνίαν τῶν ἀχράντων Μυςηρίων προπαρασκευάσειαν, προσιόντας ἦν ἔϑος, πρόσωπόν τε καὶ χεῖρας ἐν τοῖς Βαπτιςηρίοις προνίπτεϑαι. (Ὅρα §. 28.) Ἐπειδὴ δὲ, τῶν Λαῶν πληϑωϑέντων, ȣ̓ παρ-

ριῶ

ρίῳ τὰ τοιάδε ἔχειν ἁπανταχȣ̃ Βαπτιςήρια, τȣ́τȣ γε ἕνεκα ἐν ταῖς ἑορτασίμοις τῶν ἡμερῶν, τῆς Ἱερᾶς Λειτȣργίας ὑπὸ Ἀρχιερέως ἐπιτελȣμένης, οἱ παρεςῶτες, καὶ τῶν Ἁγίων Μυςηρίων κοινωνεῖν μέλλοντες, χεῖρας τε καὶ πρόσωπα ἐναπενίζοντο ἐν τῷ σκεύει, ᾧ ὁ Ἀρχιερεὺς, ἐν τῷ νίπτειν ἑαυτȣ̃ τὰς χεῖρας ἐκέχρητο.

§. 190.

Καὶ ἀπέρχονται ἐπὶ τὴν Πρόθεσιν, προπορευομένȣ τȣ̃ Διακόνȣ· ὃς τὰ Ἅγια θυμιάσας, καὶ καθ' ἑαυτὸν εὐχόμενος: Ὁ Θεὸς ἱλάσθητί μοι τῷ Ἁμαρτωλῷ: λέγει πρὸς τὸν Ἱερέα: Ἔπαρον Δέσποτα: Καὶ ὁ Ἱερεὺς ἄρας τὸν Ἀέρα, ἐπιτίθησι τῷ ἀριςερῷ ὤμῳ αὐτȣ̃ (τȣ̃ Διακόνȣ) λέγων: Ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ Ἅγια, καὶ εὐλογεῖτε τὸν Κύριον· κτ.

Ὅτι δὲ τὰ Δῶρα ἐπὶ κεφαλῆς κατεχόμενα ἐκφέρεσθαι εἴωθεν, ȣ̓δὲν ἄλλ' ἢ τὸ πρὸς Θεὸν ὀφειλόμενον ἄκρον σέβας, διὰ τῶν προσφερομένων, καὶ ὑπ' αὐτȣ̃ ἁγιασθησομένων, ἐμφαίνεται. (Ἱερώνυμ: κατὰ Βιγιλαντίȣ, ἐν Τόμ: Δ. Σελ: 284.)

§. 191.

Καὶ περιέρχονται τὸν Ναὸν, εὐχόμενοι καθ' ἑαυτȣ̀ς κτ:

Ὁ Ἱε-

Ὁ Ἱερεὺς καὶ ὁ Διάκονος, τὰ Δῶρα ἐπὶ τῷ ἁγιασθῆναι μετακομίζοντες, μνείαν ποιοῦνται τοῦ Βασιλέως, καὶ τοῦ οἴκου αὐτοῦ, καὶ τῆς Συνόδου, καὶ τοῦ Ἀρχιερέως, καὶ παντὸς τοῦ τῶν Χριστιανῶν πληρώματος.

Τὸ κατ' ἀρχὰς, ἔθος ἦν τηνικάδε ἐπ' Ἐκκλησίας μνείαν γίνεσθαι παῤῥησίᾳ ἑκάστου τῶν ὀνομάτων, ὑφ' ὧν τε δὴ τὰ προσφερόμενα, καὶ ὑπὲρ ὧν προσενήνεκτο. Ἀπεμνημονεύοντο δὲ διαφερόντως, ὅσοι τι ἐπίσημον τῷ Ναῷ ἐτύγχανον προμηθέμενοι καλλιέργημα. Ἐπειδὴ δὲ, διὰ τὸ πλῆθος τῶν προσφερομένων, καὶ διὰ τὸ βραχὺ τοῦ χρόνου ἐν ᾧ ἡ προέλευσις, μόλις ἕνα ἕκαστον ἀνακηρύττειν ἐξῆν· διὰ τοῦτο, ὕστερον, ἡ μὲν διακριδὸν ὀνομαστὶ γινομένη ἀπομνημόνευσις τῶν προσώπων ἐπὶ τὴν προσκομιδὴν μετενήνεκται· γίνεσθαι δὲ μνείαν παῤῥησίᾳ ὥρισται μόνον τοῦ Βασιλέως, οἷα δὴ Κηδεμόνος τῆς Ἐκκλησίας, καὶ ὑπερασπιστοῦ τῆς Ὀρθοδόξου Πίστεως· καὶ μὲν δὴ καὶ τῆς Ἱερᾶς Συνόδου, καὶ τοῦ Ἀρχιερατεύοντος, ὡς πρόνοιαν ποιουμένων τῆς τηρήσεως τῶν Ἐκκλησιαστικῶν Θεσμῶν τε καὶ

Διατά-

Διατάξεων. Καὶ ἐπὶ τούτοις καὶ τῶν περιεστηκότων Χριστιανῶν κοινῇ συμπάντων.

Περὶ μὲν οὖν τῆς τοιᾶσδε ἀπομνημονεύσεως καὶ ὁ θεῖος λέγων Χρυσόστομος, (ἐν ϛ΄: Ὁμιλ: τῶν εἰς τὴν Α΄. πρὸς Τιμόθ:) Τοιάδ᾽ ἔχει: Εἴγε ὑπὲρ τοῦ Ἕλληνος ἐν τῷ τῶν Μυστηρίων δεῖ καιρῷ δεήσεις προσφέρειν, ὅρα τί φησὶ, καὶ πῶς τίθησι τὸ κέρδος· Ἵνα κἂν οὕτω δέξῃ τὴν παραίνεσιν. Ἵνα ἤρεμον, φησὶ, καὶ ἡσύχιον βίον διάγωμεν. Καὶ ἡ ἐν Κωνσταντινουπόλει δὲ Σύνοδος, ἡ ἐν Ἔτει 536. ἐν τῇ Ε΄. Πράξει διεθέσπισεν, ὅτι: Τὰ Δίπτυχα τὰ πρὸς ἐπιμνημόνευσιν, τουτέστι τοὺς μνημονευτικοὺς Καταλόγους, ἢ Πίνακας, ἀποθετέον ἐπὶ τοῦ Ἄμβωνος.

§. 192.

Εἰσελθὼν δὲ ὁ Διάκονος ἔνδον τῶν Ἁγίων θυρῶν, ἵσταται ἐν τοῖς δεξιοῖς, καὶ τοῦ Ἱερέως εἰσέρχεσθαι μέλλοντος, λέγει πρὸς αὐτόν: Μνησθείη Κύριος ὁ Θεὸς τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

§. 193.

Καὶ ὁ μὲν Ἱερεὺς ἀποτίθησι τὸ Ἅγιον Ποτήριον ἐν τῇ Ἱερᾷ Τραπέζῃ· τὸν δὲ Ἅγιον Δίσκον λαβὼν ἀπὸ τῆς τοῦ Διακόνου

κε-

κεφαλῆς ἀποτίθησιν αὐτὸν ἐπὶ τῆς Ἁγίας Τραπέζης, λέγων· Ὁ εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν Σου Σῶμα κτ· Ἐν τάφῳ Σωματικῶς κτ·

Ἐν τῷ ἀποτίθεσθαι τὸν Δίσκον, καὶ τὸ Ποτήριον ἐπί τῆς Ἁγίας Τραπέζης, ἀναγινώσκεται τὰ τοιαῦτα Τροπάρια, εἰς ἀνάμνησιν τοῦ Πάθους καὶ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ· Εὐτρεπίζουσι δ' ἑαυτοὺς (οἱ ὑπουργοῦντες) μετὰ πλείονος τῆς προσοχῆς τε καὶ εὐλαβείας πρὸς τὴν Ἱεροτελεστίαν.

§. 194.

Εἶτα ὁ Ἱερεύς ἄρας τά καλύμματα, ἀπὸ τε τοῦ Ἱεροῦ Δίσκου, καὶ ἀπὸ τοῦ Ἁγίου Ποτηρίου, τίθησιν ἐν μέρει τῆς Ἁγίας Τραπέζης· Τό δέ κάλυμμα (τόν Ἀέρα) ἀπὸ τοῦ ὤμου τοῦ Διακόνου λαβὼν, καὶ θυμιάσας, σκεπάζει δι' αὐτοῦ τὰ Ἅγια, λέγων· Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελών τό ἄχραντόν Σου Σῶμα, Σινδόνι καθαρᾷ εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. Καὶ λαβὼν τὸν Θυμιατὸν ἀπὸ τῶν τοῦ Διακόνου χειρῶν, Θυμιᾷ τά Ἅγια τρὶς, λέγων· Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιὼν, κτ·

(α) Ὅ τε Δίσκος, καὶ τὸ Ποτήριον, χωρὶς εἰώθασι φέρεσθαι, μικροῖς καλύμμασιν ἐπισκεπόμενα· ἐπεὶ δὲ ἄχρι τοῦ καιροῦ τῆς μεταλήψεως οὐκ ἄλλοσέποι μεταφέρεται, διάτοῦτο ὑφ' ἑνί καὶ τῷ αὐτῷ καλύμματι, ὅπερ Ἀὴρ καλεῖται, ἄμφω σκεπάζεται.

(β) Τό δὲ κάλυμμα τόδε, τὸ ἐπί τὰ Ἅγια Δῶρα κοινῇ ἐπιπεταννύμενον, Ἀήρ ὀνομάζεται, ὡς τῶν Ἱερέων, τοῦ Συμβόλου τῆς Πίστεως ἀναγινωσκομένου, ἐπ' ἀέρος αὐτό κατεχόντων μετέωρον· ὅπερ ἐφεξῆς ὁ Διάκονος ὕπερθε τῶν Ἁγίων ἀνακινεῖ, νῦν μέν ἀναφέρων, νῦν δ' ἐναλλάξ καταφέρων· διαῤῥιπίζων οὕτω δι' αὐτοῦ, ὡς διά ῥιπιδίου, ἵνα τῇ ἐπαλλήλῳ διασαλεύσει τά ζωΰφια, εἰ τύχοι, ἀποσοβῇ, τοῦ μή καθιζάνειν ἐφιπτάμενα ἐπί τά Δῶρα τά Ἅγια.

§. 195.

Ἔπειτα ὁ Διάκονος τὴν κεφαλὴν κλίνας, καὶ κρατῶν τὸ Ὡράριον τοῖς τρισὶ δακτύλοις τῆς δεξιᾶς, λέγει τῷ Ἱερεῖ: Εὖξαι ὑπὲρ ἐμοῦ Δέσποτα Ἅγιε. Καὶ ὁ Ἱερεύς: Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ Σέ, καὶ Δύναμις Ὑψίστου ἐπισκιάσει Σοι. Καὶ ἀσπασάμενος τὴν δεξιὰν

δεξιὰν τῦ Ἱερέως, ἐξέρχεται διὰ τῆς Βορείυ πύλης, καὶ ςὰς ἐν τῷ συνήθει τόπῳ, λέγει: Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. κτ:

§. 196.

Ἀλλ' ὅτε δὴ ὁ Ἀρχιερεὺς αὐτὸς τὴν Ἱερὰν ἐπιτελεῖ Λειτυργίαν, τότε ὑπ' αὐτῦ καὶ ἡ Προσκομιδὴ γίνεται, ἐν τῷ τὸν Χερυβικὸν ὕμνον προσᾴδεσθαι· Ὅτε καὶ ὁ καιρὸς μάλιςα, ὁ εἰς τὴν Προσκομιδὴν προσήκων ἐςί· Τὰ γὰρ προσκομιζόμενα, εἰς τῦτο τὸ τῆς Λειτυργίας τὸ μέρος προσενεκτέα· Τελεῖται δ' οὖν τὰ τῆς προσκομιδῆς ὑπό τῦ Ἱερέως πρό τῶν Ἐυχῶν, τῶν ὑπὲρ τῶν μελλόντων τῦ Μυςηρίυ κοινωνεῖν γινομένων· Διὰ τὸ τὴν τοιαῦτα τὰ παρὰ τῶν πιςῶν προσφέρεσθαι, καὶ τὰ παρὰ τῶν προσφερόντων ὀνόματα ἐπὶ τῶν Διπτύχων ἀναγράφεσθαι, ὡς ἂν ἕκαςος εἰδέναι ἔχοι, μηδαμῶς ὑπό τῆς Ἐκκλησίας, ὅπερ ἂν προσενέγκοι ὠλιγωρῆσθαι. Ἀλλά γὰρ τῦ ἀριθμῦ τῶν πιςευόντων, καὶ τῦ τῶν Προσφορῶν ὑπερπληθυνομένυ· Ἄλλως τε δὲ, καὶ ἐπὶ τῦ Χερυβικῦ Ἄσματος δέον τὺς πιςὺς μετά προσοχῆς καὶ ἐυλαβείας ἁπάσης παρίςασθαι, ὐκέτι

τὸ

τὸ ξενὸν ἐξήρκει τȣ̃ χρόνȣ, ȣ̉́τε τοῖς προσφέρȣσιν αὐτοῖς, ȣ̉́τε τοῖς προσιεμένοις τὰ προσφερόμενα.

Ὁ Θεῖος Χρυσόςομος (ἐν Ὁμιλ: Β΄. τῇ εἰς τὴν Β΄. πρός Κορινθ: Ἐπις:) Ἤδη (φησί) τὰς Θύρας τοῖς Κατηχȣμένοις ἀνοίγοντες, κελέυομυν αἰτεῖν τόν Ἄγγελον τῆς εἰρήνης, εἰρηνικὴν τὴν παρȣ̃σαν ἡμέραν, ϗ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· Χριςιανά ἡμῶν τά τέλη· Τὸ Κεφάλαιον τῶν ἀγαθῶν, τὸ καλὸν ϗ τὸ συμφέρον. Ἑαυτȣ̀ς τῷ ζῶντι Θεῷ, ϗ τῷ Χριςῷ αὐτȣ̃ παραθέσθαι. Εἶτα κλῖναι τὰς κεφαλάς κελέυομεν, τεκμήριον τȣ̃ τὰς ἐυχὰς ἀκȣσθῆναι· Καὶ ἐπιβοῶσιν ἅπαντες τὸ Ἀμήν.

§. 197.

Ὁ Ἱερεὺς: Εἰρήνη πᾶσιν· Ὁ Χορός: ϗ τῷ Πνέυματίσȣ· Ὁ Διάκονος: Ἀγαπήσωμεν ἀλλήλȣς, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν. ὁ Χορός: Πατέρα, Υἱόν, ϗ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοȣ́σιον ϗ ἀχώριςον. Ὁ δέ Ἱερεύς προσκυνεῖ τρίς, λέγων: Ἀγαπήσω Σε Κύριε ἡ ἰσχύς μȣ, Κύριος ςερέωμάμȣ, κτ:

Οἱ Ἱερεῖς ἀσπάζονται τόν Δίσκον, τὸ Ποτήριον, τὴν Τράπεζαν, ϗ προσέτι ἀμοιβαδόν ϗ ἀλλήλȣς, λέγοντες: ὁ Χριςός ἐν μέσῳ ἡμῶν. Δὶ ȣ̉̃ δηλȣ̃σι τὴν εἰς Θεὸν ἑαυτῶν

ἑαυτῶν πίστιν καὶ ἀγάπην, καὶ δὴ καὶ τὴν πρὸς τοὺς ἄλλους διαπιστέμενοι· Οὐ γὰρ οὐδ᾽ ἡ πίστις ἀγάπης ἄνευ ἂν ὑποστάιη, οὐδ᾽ ἡ ἀγάπη ἄνευ τῆς πίστεως.

Ὁ Θεῖος Κύριλλος ὁ Ἱεροσολυμίτης (ἐν Ὁμιλ: Ε΄. τῶν Μυσταγωγικῶν, Τμήμ: Γ΄. Μὴ ὑπολάβῃς (φησί) τὸ φίλημα ἐκεῖνο συνήθες εἶναι τοῖς ἐπ᾽ ἀγορᾶς γινομένοις ὑπό τῶν κοινῶν φίλων. Οὐκ ἔστι τοίνυν τοιοῦτο τὸ φίλημα· Ἀνακίρνησι τὰς ψυχάς ἀλλήλαις, καὶ πᾶσαν ἀμνησικακίαν αὐταῖς μνηστεύεται.

Τῷ τοιῷδε φιλήματι τῆς εἰρήνης, πάντες οἱ τοῦ Μυστηρίου κοινωνήσοντες εἰώθεσαν ἀλλήλους ἀσπάζεσθαι. Ἐπεὶ δ᾽ ἐς ὕστερον παρ᾽ ἔλλειψιν τῶν εἰς τὴν Μετάληψιν προσιόντων, ἐφείθη παρεῖναι τῇ Λειτουργίᾳ καὶ τοὺς μὴ μεταληψομένους· διά τοῦτο καὶ τὸ τοῦ φιλήματος ἔθος, ὡι ἐξίτηλον κατηργήθη, μήποτε καὶ διὰ προσπάθειάν τινα, μὴ ἐναγῶς γένηται.

§. 198.

Ὁ Διάκονος ἐπισυνάπτει ἐκφώνως: Τάς Θύρας, τὰς Θύρας, ἐν Σοφίᾳ πρόσχωμεν.

Ἐπειδή τοὺς Κατηχουμένους, ὡς ἔτι ἀμυήτους· καὶ τούς ἐν μετανοίᾳ δέ ἀναστρεφομέ-

φομένους· καὶ τοὺς πιστοὺς μὲν, ἀλλὰ πρὸς τὴν τῶν Ἁγίων Μυστηρίων μετάληψιν μὴ παρεσκευασμένους, ἐξιέναι τῆς Ἐκκλησίας τὸ πάλαι προσέτακτο· Παρεκτὸς δὲ τούτων, καὶ ἵνα μήτις τῶν ἐθνικῶν καὶ ἀπίστων κατ᾽ ἔχθος τὸ πρὸς τὴν Ἐκκλησίαν, ἐν καιρῷ τῆς τελετουργίας ταραχήν τινα προμνηστεύσαιτο· οὕτως ὁ Διάκονος ἀνέκραξε, τοῖς Πυλωροῖς ἐγκελευόμενος, μηδένα τῶν τοιούτων ἐντὸς τοῦ Ναοῦ εἰσιέναι, μηδὲ στῶσαι ἐᾶν, ἀλλ᾽ ἐξιέναι ἐπάγειν, καὶ ἐκτὸς ἵστασθαι. Τὸ δὲ προσεπεκφωνούμενον: Ἐν Σοφίᾳ, πρόσχωμεν: πρός τούς ἔνδον τῆς Ἐκκλησίας μένοντας ἀναφέρεται: ὅπως ἂν τῷ ἀναγινώσκεσθαι μέλλοντι Συμβόλῳ ἀτενῶς προσέχοντες, καὶ ταῖς Εὐαγγελικαῖς ἀληθείαις, ἣ Χριστιανοῖς δέον, ἐφιστάντες ἐνδιατρίβοιεν.

§. 199.

Ὁ Ἱερεύς τὸ ἐπιπεπετασμένον κάλυμμα ἐξαιρεῖ.

Τῶν Κατηχουμένων, καὶ τῶν ἄλλων, οὓς προσῆκεν ἐξεληλυθότων, καὶ τῶν εἰς μετάληψιν ἑτοίμων μόνων κατὰ χώραν μεμενηκότων, τηνικαῦτα, οὐχ ὅπως τὸ κάλυμμα

λυμμα ἐξῄρετο, ἀλλά καὶ αἱ Βασιλικαί αὐταί διεπετάννυντο πύλαι, ἵν᾽ ἅπαντες κοινωνοί γένοιντο τῶν ἐπί τῇ Ἁγιαστείᾳ τῶν Δώρων μελλουσῶν προσάγεσθαι εὐχῶν καὶ δεήσεων. Ἀλλ᾽ ἐπεὶ γάρ, μετὰ χρόνων παρέλευσιν οὐκ ὀλίγων, ἐπιτέτραπται καὶ αὐτοὺς ἔτι τοὺς πρὸς τὴν τῶν θείων Μετάληψιν ἔχοντας ἀπαρασκευάστως παρεστάναι· τούτου δή χάριν μόνον ἐξαιρεῖται τὸ κάλυμμα, ἐπί τηρήσει τῆς παλαιᾶς διατάξεως· Ἀλλ᾽ αἱ πύλαι αἱ Βασιλικαὶ ἐπεζυγωμέναι διαμένουσιν.

§. 200.

Ὁ Ἱερεὺς ἐξάρας τὸ κάλυμμα, ἤτοι τὸν Ἀέρα, ὕπερθε τῶν Ἁγίων Δώρων ἐπικατέχει. Τοῦθ᾽ ὅπερ καὶ οἱ λοιποὶ Ἱερεῖς, εἰ τύχωσι συλλειτουργοῦντες, ποιοῦσι, τὸ αὐτὸ κάλυμμα ὡσαύτως κοινῇ συνδιασαλεύοντες.

Ἐνταῦθα τέως, τὸ οἷς περ ἐσκέπαστο τὰ Ἅγια, ἔωθεν αἴρεσθαι κάλυμμα, ὅτι ὁ τοῦ ἐκείνων ἁγιασμοῦ καιρὸς ἤδη ἐφέστηκεν. Ἐπειδὴ δέ τὸ διὰ Ῥιπιδίου, ἢ τούτου μὴ παρόντος, διάγε τοῦ καλύμματος τὰ Ἅγια διαῤῥιπίζειν, (πρὸς ἀποσόβησιν τῶν

ζωΰ-

ζωΰφίων, (τῶν ἐν θερμοτέροις μάλιστα τοῖς Κλίμασιν, ἐν ὥρα Θέρους ἄδδην ἐπὶ τὰ ἐυαγῆ Δῶρα ἐπισκηπτόντων) τοῦ Διακόνου ἔργον ἐστίν· ὁ δὲ Διάκονος κατ' ἐκεῖνο ἐπὶ τοῦ Ἄμβωνος ἵσταται, διάτοι τοῦτο ἡ τοιάδε διαῤῥίπισις γίγνεται ὑπό τοῦ Ἱερέως. Εἰς ὅ δ' ἄν ὁ Διάκονος εἰς τὸ Θυσιαστήριον εἰσέλθοι, τοῦ καλύμματος ἤδη ἐν μέρει ἀποτεθέντος, τό ἰδίως ἐπανῆκον αὐτῷ διαπράττεται ἔργον. Καὶ τοι δέ, ἐν στίφει πλειόνων τὴν Ἱερουργίαν συλλειτουργούντων, ὡς ἐν Ἑορτῇ τινί ἐπισήμῳ, τὸ αὐτὸ ἔργον ἀναπληροῦν οἷοιτε εἰσὶ καὶ ἕτεροι τῶν Διακόνων· ἀλλ' οὐδέν ἥκιστα ὑπὸ τῶν Ἱερέων αὐτῶν καὶ μόνων τὸ κάλυμμα οὕτω διασαλεύεται, ὡς ἄν μή δόξῃ τὸ ἀρχαῖον τῆς Ἐκκλησίας ἔθος τε καὶ διάταγμα παραβαίνεσθαι. Ἐνῷ δ' ἄν ὁ Ἀρχιερεύς τὴν Ἱερουργίαν ἐπιτελῶν τυγχάνῃ, πρὸς τὴν τοιάνδε διά τοῦ καλύμματος διαῤῥίπισιν χεῖρα οὐδαμῶς αὐτὸς ἐπιβάλλει· Τοῖς γάρ τῶν ὑπουργῶν ὑποδεεστέροις τόδε ἀνῆκον ἐστὶ τὸ ἔργον. Ἀλλ' ἐν τούτῳ τὴν Κεφαλὴν ὁ Ἀρχιερεύς ὑποκλίνας, ἐπί τῆς Ἱερᾶς καθυποκύπτουσαν ταπεινῶς Τραπέζης, τήν τε ὑπακοὴν τῆς ἰδίας ἑαυτοῦ ψυχῆς τε καὶ διανοίας, καὶ τὴν τῆς Ἐκκλησίας συμ-

πάσης

πάσης, (ὑπὲρ ἧς οἷον ἐχέγγυος αὐτὸς παρίσαται μάρτυς,) τῷ Θεῷ ἀποδίδωσιν· (Ὅρα. §. 206.)

§. 201.

Συνεπαναγινώσκουσι δὲ καὶ οἱ περιεστῶτες σύμπαντες τὸ Σύμβολον τῆς ὁμολογίας τῆς Πίστεως.

„Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα, Ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· Φῶς ἐκ Φωτὸς. Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθεντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι᾽ οὗ τὰ πάντα ἐγένετο. Τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διά τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα· καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς Γραφάς· καὶ ἀνελθόντα εἰς

„τὲς ὀρανὲς, καὶ καθεζόμενον ἐκ δεξιῶν
„τοῦ Πατρὸς, καὶ πάλιν ἐρχόμενον μετὰ
„δόξης κρῖναι ζῶντας καὶ νεκρὲς, ὃ τῆς
„Βασιλείας ὀκ ἔςαι τέλος.

Τῆς Δευτέρας Συνόδου.

„Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ
„Κύριον, τὸ ζωοποιὸν, τὸ ἐκ τοῦ Πατρὸς
„ἐκπορευόμενον, τὸ σὺν Πατρί καὶ Υἱῷ
„συμπροσκυνόμενον καὶ συνδοξαζόμενον,
„τὸ λαλῆσαν διὰ τῶν Προφητῶν. Καὶ
„εἰς μίαν Ἁγίαν Καθολικὴν καὶ Ἀποςο-
„λικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπ-
„τισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ
„Ἀνάςασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλ-
„λοντος αἰῶνος. Ἀμήν.

Τὸ Ἱερὸν τῆς Πίςεως Σύμβολον, γε-
γονώτερον μέν ὑπὸ τοῦ Χοροῦ ἐκφωνεῖται·
προσυπηχοῦσι δ᾽ οὖν κ, οἱ περιεςῶτες σιγα-
λέαν τὴν τοῦ αὐτοῦ ἐπανάληψιν, τὴν καθ᾽
ἑαυτὲς συγκατάθεσιν ἐπὶ μόνῃ τῇ τῆς
Πίςεως ἀληθείᾳ καὶ σιγῶντες ἐπαγγελ-
λόμενοι. Ἅμα δέ καὶ περί τοῦ Θεοῦ καὶ
τῆς αὐτοῦ προνοίας σπεδαίαν μελέτην ποιὸ-
μενοι· κ, πρὸς τὸ ἀξίες γενέσθαι τῆς κοι-
νωνίας, ἑαυτὲς προπαρασκευάζοντες καὶ
ἐπιςηρίζοντες.

Τὴν

Τὴν τῦ Συμβόλυ τῆς Πίστεως ἐν τῇ Λειτυργίᾳ Ἀνάγνωσιν, οἱ ἀπὸ Ῥώμης Λέοντι Πρώτῳ τῷ Πάπα ἀποδιδόασιν ὡς ὑπ᾽ αὐτῦ διαταχθεῖσαν, τῦ κατὰ τὴν πέμπτην τῶν ἀπὸ Χριςῦ ἑκατονταετηρίδων ἀκμάσαντος. Δῆλον γεμὴν ὅτι, τυτὶ Χριςιανοῖς τὸ πρῶτον καὶ Στοιχειῶδες ὑπῆρχε μαθημα· καὶ αὕτη ἦν ἡ Πίςις, ἣν ἔδει τὺς Φωτιζομένυς ἐκμανθάνειν, καὶ τῇ Πέμπτῃ τῆς Ἑβδομάδος ἀπαγγέλλειν τῷ Ἐπισκόπῳ, ἢ τοῖς Πρεσβυτέροις, (κατὰ τὴν ἐν Λαοδικ: Συνόδ: Καν: Μϛ΄.) ἥτις πέμπτην ἡμέραν ἀποκαλεῖ, τὴν κατὰ τὸ Σωτήριον πάθος Παρασκευήν.) Ἐνθεντοι καὶ Θεόδωρος ὁ Ἀναγνώςης, (ἐν Βιβλ: Β΄. Σελ: 563.) ἐξιςορεῖ, ὅτι καὶ Τιμόθεος, τό τῶν ΤΙΗ΄. Πατέρων τῆς Πίςεως Σύμβολον, καθ᾽ ἑκάςην Σύναξιν λέγεσθαι παρεσκεύασεν, ἐπὶ διαβολῇ δῆθεν Μακεδονίυ· ὡς αὐτῦ μὴ δεχομένυ τὸ Σύμβολον, ἅπαξ τῦ ἔτυς λεγόμενον πρότερον ἐν τῇ Ἁγίᾳ Παρασκευῇ τῦ Θείυ Πάθυς, τῷ καιρῷ τῆς γινομένης ὑπό τῦ Ἐπισκόπυ Κατηχήσεως, τοῖς ἐπὶ τὸ Φώτισμα ἑτοιμαζομένοις δηλονότι, οἷς ὐ θέμις ἦν πρὸ τύτυ ἀπαγγέλλειν, ἀμυήτοις ἔσι περὶ τὰ ὑπερφυῆ τῆς Πίςεως Δόγματα. Ἄλλως καὶ γάρ τὴν τῦ Ἱερῦ Συμβόλυ ὑπὸ τῶν Πιςῶν Ἀνάγνωσιν, ἐπὶ

τῆς Ἀνατολικῆς Ἐκκλησίας ἤδη καὶ πολλῷ πρώην ἐπικρατῆσαι, μάρτυς ὁ Χρυσοῤῥήμων ἐςὶ Διδάσκαλος (ἐν τῇ Ὁμιλ: ὅτι αὐτὸς ἑαυτὸν ἕκαςος ἐςὶν ὁ βλάπτων) γράφων: ὅτι, τὸ τῆς Πίςεως Σύμβολον ἁπανταχȣ̃ ᾄδεται, καὶ διὰ παντὸς αἰῶνος ᾀσθήσεται.

§. 202.

Ὁ Διάκονος ἐκφώνως: Στῶμεν καλῶς· ςῶμεν μετὰ φόβȣ: Πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Θεῖος Χρυσόςομος, (ἐν Ὁμιλ: Δ΄. περὶ τȣ̃ Ἀκαταληπτȣ.) αὐτὸ τȣ̃το, φησὶ, παρακελεύεσθαι τὸν Διάκονον τοῖς πᾶσι καὶ λέγειν: „Ὀρθοὶ ςῶμεν καλῶς· ȣ̓χ ἁπλῶς, „ȣ̓δὲ εἰκῇ νενομοθέτηται· ἀλλ᾽ ἵνα τȣ̀ς „χαμαὶ συρομένȣς λογισμȣ̀ς ἀνορθώσωμεν· „ἵνα τὴν ἔκλυσιν τὴν ἐκ τῶν βιωτικῶν ἡμῖν „γινομένην πραγμάτων ἐκβάλλοντες, ὀρ„θὴν ἔμπροσθεν τȣ̃ Θεȣ̃ παραςῆσαι δυνη„θῶμεν ἡμῶν τὴν ψυχήν. Καὶ ὅτι τȣ̃το „ἐςὶν ἀληθὲς, καὶ ȣ̓χὶ πρὸς τὸ σῶμα, „ἀλλὰ πρὸς τὴν ψυχὴν ὁ λόγος ἀποτεί„νεται, ταύτην κελεύων ἀνορθοῦν, ἀκȣ́„σωμεν καὶ Παύλȣ, τȣ̃τον τὸν τρόπον

„ταύτῃ

ἔκθεσιν τῶν λεγομένων συμβάλλεται ἡ τῦ Θείυ Χρυσοςόμυ ἑρμηνεία, εἰς τὸ τῦ ΙΔ΄, ψαλμῦ Ἐδάφ: 49. Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως: τυτέςιν εὐχαριςίας ὕμνων Ἱερῶν, τῆς διὰ τῶν ἔργων δοξολογίας. Αἶνος γὰρ, ἔπαινος ἐςί, δόξα, καὶ εὐφημία. Ἔςω τοίνυν ὁ βίος Συ τοιῦτος, ὥςε εὐφημεῖσθαι Συ τὸν Δεσπότην, καὶ καθηγλισμένην εἰσήγαγες τὴν θυσίαν. Εἰς τῦτο δέ φερει καὶ τὰ ὑπὸ τῦ Σωτῆρος εἰρημένα: (Ματθ: Ε΄. 23 24.) Ἐὰν ὖν προσφέρῃς τὸ δῶρον Συ ἐπὶ τὸ Θυσιαςήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός Συ ἔχει τι κατὰ Συ· ἄφες ἐκεῖ τὸ δῶρον Συ ἔμπροσθεν τοῦ Θυσιαςηρίυ, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ Συ. καὶ τότε ἐλθὼν, πρόσφερε τὸ δῶρον Συ.

§. 204.

Ἄρας τοίνυν ἀπὸ τῶν Ἁγίων Δώρων ὁ Ἱερεὺς τὸν Ἀέρα καὶ ἀσπασάμενος, ἀποτίθησιν ἐν μέρει· Ὁ δὲ Διάκονος προσκυνῶν εἰσέρχεται εἰς τὸ Θυσιαςήριον, καὶ λαβὼν τὸ Ῥιπίδιον διαρριπίζει ἐπὶ τὰ Ἅγια εὐλαβῶς. Ὁ δὲ Ἱερεὺς ἐκφωνεῖ: Ἡ χάρις τῦ Κυρίυ ἡμῶν Ἰησῦ Χριςῦ, καὶ ἡ ἀγάπη τῦ Θεῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν. Ὁ Χορός: Καὶ μετὰ τῦ πνεύματος Συ. Ὁ Ἱερεὺς: ἄνω σχῶμεν τὰς καρδίας. Ὁ Χορὸς: ἔχομεν πρὸς τὸν Κύριον.

Ἐν

Ἐν ᾧ τὰ Φρικτὰ μέλλει τελεῖσθαι Μυστήρια, ὁ Ἱερεὺς διαλέγεται τῷ Λαῷ, καὶ ὁ Λαὸς πρὸς αὐτὸν ἀποκρίνεται. Καὶ μετὰ τοῦ πνεύματός σου. Οὐδὲ γὰρ μόνος ὁ Ἱερεὺς εὐχαριστεῖ, ἀλλὰ καὶ σύμπας ὁμοῦ ὁ Λαός· Καὶ πρῶτον μὲν τὴν τοῦ Λαοῦ λαμβάνει ὁ Ἱερεὺς συγκατάθεσιν, ἔπειτα δὲ συγκαταθεμένων, ὅτιπερ ἄξιον καὶ δίκαιον ἐστὶ ποιεῖν, ἐπαναλαμβάνει αὐτὸς τὴν εὐχαριστίαν καὶ αὖθις: Οὐκ ἤδη τῷ Ἱερεῖ ἐπηγγείλασθε εἰρηκότι: Ἄνω σχῶμεν τὰς καρδίας τε καὶ τὰς ἐνθυμήσεις; οὐχὶ συνέφητε: ἔχομεν πρὸς τὸν Κύριον;

Ὁ Θεῖος Χρυσόστομος, εἰς τὴν Β΄. πρὸς Κορινθ: Ἠθικ. ΙΗ΄. Καὶ ὁ Θεῖος Κυπριανὸς Ὁμιλ: περὶ τῆς Προσευχῆς. Καὶ Ἀποστολ: Κανὸν. Βιβλ: Η. Κεφ: Γ΄. Καὶ Κύριλ: ὁ Ἱεροσολυμ: Περὶ τῆς Λειτουργ: ἐν Τμήμ: Δ΄. *

§. 205.

Ὁ Ἱερεύς: Εὐχαριστήσωμεν τῷ Κυρίῳ.
Ὁ Χορός: Ἄξιον καὶ δίκαιον ἐστὶ κτ:

Εὐχόμενος δὲ ὁ Ἱερεὺς, πάσας τὰς παρὰ τοῦ Θεοῦ γενομένας ἡμῖν εὐποιΐας ἐξα-

ἐξαριθμεῖ: οἷον τὴν τοῦ ἀνθρώπου ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴν, καὶ τὴν ἐν οἰκτιρμοῖς αὐτοῦ πρόνοιαν ὑπὲρ αὐτοῦ κατ᾽ αὐτὴν τὴν πτῶσιν τῆς παραβάσεως. Καὶ ὡς, ὁ τὴν Αἴνεσιν λαμβάνων παρὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων, καταξιοῖ δέχεσθαι τὴν εὐχαριστίαν καὶ παρ᾽ ἡμῶν, τῶν τὸν Νόμον αὐτοῦ ἀθετησάντων. Ἡμεῖς δὲ ἐπὶ τοῦ Μυστικοῦ Ποτηρίου τὰ ἀνεκδιήγητα τοῦ Θεοῦ εὐεργετήματα καταλέγοντες, ἅπερ ἐλάβομεν, ταῦτα καὶ προσφέρομεν· καὶ δωρεὰν τῆς αὐτοῦ μετέχομεν χάριτος. Ὅτι ἐκ τῆς τοῦ Διαβόλου πλάνης τὸ ἀνθρώπινον λυτρωσάμενος, τοὺς πόῤῥω ἀφεστῶτας ἡμᾶς προσεγγίσαι αὐτῷ κατηξίωσε, καὶ πάντη ἀπεγνωσμένους ὄντας, καὶ τοῦ Θεοῦ ποῤῥωτάτω ἀπέχοντας, ἀδελφοὺς ἰδίους, καὶ συγκληρονόμους ἑαυτῷ εἰσεποίησεν· ὑπὲρ τούτων ἁπάντων χάριτας ὁμολογοῦντες τῷ Θεῷ προσερχόμεθα. (Χρυσός: Α. πρὸς Κορινθ: Ὁμιλ: ΚΔ΄. Κανον: Ἀπος: Βιβλ: Η΄. Κεφ: ΙΒ΄. Κύριλ: Ἱεροσολ: Περὶ τῆς Λειτουργ: Τμήμ: Ε΄.)

§. 206.

Ὁ Ἱερεὺς τὰς οὕτως ἐπιδαψιλευθείσας ἡμῖν παρὰ Θεοῦ εὐποιΐας ἐπικαταλέξας

ξας, ἐκφωνεῖ: Τὸν ἐπινίκιον ὕμνον, ᾄδοντα, βοῶντα, κεκραγότα, καὶ λέγοντα.

Ὁπότε αἱ Οὐράνιαι Δυνάμεις, τὴν τοσαύτην τοῦ ὑψίστου πρὸς ἀνθρώπους εὐμένειαν καθορῶσαι, καὶ τὴν πανσθενῆ πρόνοιαν τοῦ τὴν ἁμαρτίαν, καὶ τὸν θάνατον, καὶ τὸν Διάβολον νικήσαντος ἐξυμνοῦσαι, τὸν Ἐπινίκιον απαύστως προσᾴδουσιν αἶνον, ὅσῳ δὴ μᾶλλον ἡμεῖς οἱ ὑπὸ τῇ ἁμαρτίᾳ αἰχμάλωτοι τῆς ἀπολυτρώσεως τυχόντες, τὸν Ἀγγελικὸν ἐκεῖνον ὕμνον ᾄδειν ὀφείλομεν; Καὶ δὴ, καὶ ᾄδομεν: Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαὼθ! πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης Σου. Ὡσαννὰ ὁ ἐν τοῖς Ὑψίστοις.

Οὕτω καὶ ὁ θεσπέσιος Χρυσόστομος περὶ τούτου (ἐν Ὁμιλ: Ε΄. Εἰς τὰ Σεραφίμ) „Τοῦτο (φησὶ) καὶ τὰ Σεραφὶμ ποιεῖ. Καὶ „διὰ τοῦτο ἕτερος πρὸς τὸν ἕτερον κέκραγεν: Ἅγιος, Ἅγιος, Ἅγιος. Ἆρα ἐπέγ„νωτε τὴν φωνὴν ταύτην; Ἆρα ἡμετέ„ρα ἐστὶν, ἢ τῶν Σεραφίμ; Καὶ ἡμετέ„ρα, καὶ τῶν Σεραφίμ: διὰ τὸν Χριστὸν „τὸν ἀνελόντα τὸ μεσότειχον τοῦ φραγ„μοῦ, καὶ εἰρηνοποιήσαντα τὰ ἐν οὐρανοῖς „καὶ τὰ ἐπὶ τῆς γῆς· διὰ τὸν ποιήσαντα „τὰ ἀμφότερα ἕν. Πρότερον γὰρ ἐν τοῖς „οὐρανοῖς οὗτος ᾔδετο μόνον ὁ ὕμνος· ἐπει-

„δὴ

„δὴ δὲ, ἐπιβιῶναι τῆς γῆς κατηξίωσεν ὁ
„Δεσπότης, καὶ τὴν μελῳδίαν ταύτην
„κατήνεγκε πρὸς ἡμᾶς· Διὰ τοῦτο καὶ ὁ
„μέγας οὗτος Ἀρχιερεὺς, ἐπειδὰν ἐπὶ τῆς
„Ἁγίας ταύτης ἑστήκῃ Τραπέζης, τὴν λο-
„γικὴν ἀναφέρων λατρείαν, τὴν ἀναίμακ-
„τον προσφέρων θυσίαν, οὐχ ἁπλῶς ἡμᾶς
„ἐπὶ τὴν εὐφημίαν ταύτην καλεῖ· ἀλλὰ
„πρότερον τὰ Χερουβὶμ εἰπὼν, καὶ τῶν
„Σεραφὶμ ἀναμνήσας, οὕτω παρακελεύε-
„ται πᾶσιν, ἀναπέμψαι τὴν φρικωδεστά-
„την φωνὴν, τῇ τῶν συγχορευόντων μνή-
„μῃ τὴν διάνοιαν ἡμῶν ἀπὸ τῆς γῆς ἀ-
„νασπῶν. Καὶ τῇ πρὸς Ἑβραί: δὲ Ὁμιλ:
„ΙΔ΄. Ἀλλὰ τί; οἱ ὕμνοι, οὐκ ἐπουράνιοι;
„Οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χορόι
„τῶν ἀσωμάτων Δυνάμεων, ταῦτα καὶ
„ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγό-
„μεθα; Καὶ τῇ Ἐπις: δὲ τῇ πρὸς Ἐφεσ:
„Ὁμιλ: ΚΔ΄. Ἃ γὰρ τὰ Χερουβὶμ ἄνω
„λέγει, ταῦτα καὶ ἡμῖν προσέταξε λέγειν:
„Ἅγιος, Ἅγιος, Ἅγιος.

§. 207.

Ἐνταῦθα λαβὼν ὁ Διάκονος τὸν Ἀστερίσκον ἐκ τοῦ Ἁγίου Δίσκου, ποιεῖ σταυροῦ τύπον ἐπάνω αὐτοῦ· εἶτα λαμβάνει τὸ ῥιπίδιον, καὶ ἠρέμα ῥιπίζει ἐπισκιάζων

ςων τὰ Ἅγια.

Διατυποῖ δὲ τὸν Σταυρὸν συςίχως τοῖς εἰρημένοις: Ἄδοντα, βοῶντα, κεκραγότα καὶ λέγοντα. Διαῤῥιπίζει δὲ ἐπὶ τῶν Ἁγίων Δώρων, ὅτι τȣ̃το ἐςὶ τὸ ἔργον τȣ̃ ὑπȣργȣ̃ τῆς Τραπέζης.

§. 208.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται: „Μετὰ τȣ́των
„καὶ ἡμεῖς τῶν Μακαρίων Δυνάμεων,
„Δέσποτα Φιλάνθρωπε, βοῶμεν καὶ λέ-
„γομεν: Ἅγιος εἶ, καὶ πανάγιος, καὶ με-
„γαλοπρεπὴς ἡ δόξα Σȣ· ὃς τὸν κόσμον
„Σȣ οὕτως ἠγάπησας, ὥςε τὸν Υἱόν Σȣ τὸν
„Μονογενῆ δȣ̃ναι, ἵνα πᾶς ὁ πιςεύων εἰς
„αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν
„αἰώνιον· ὃς ἐλθὼν, καὶ πᾶσαν τὴν ὑπὲρ
„ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτὶ ᾗ
„παρεδίδοτο, μᾶλλον δὲ αὐτὸν παρεδίδȣ
„ὑπὲρ τῆς τȣ̃ κόσμȣ ζωῆς, λαβὼν ἄρτον
„ἐν ταῖς Ἁγίαις αὐτȣ̃, καὶ ἀχράντοις καὶ
„ἀμωμήτοις χερσὶν, εὐχαριςήσας καὶ εὐ-
„λογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς
„Ἁγίοις αὐτȣ̃ Μαθηταῖς καὶ Ἀποςόλοις,
„εἰπών: Λάβετε, Φάγετε, τȣ̃τό μȣ ἐςὶ τὸ
„Σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄ-
„φεσιν ἁμαρτιῶν. — Ὁ Χορὸς: Ἀμήν.

Ὁ

Ὁ Ἱερεὺς, ἐν ᾧ ἐκεῖνα προσᾴδεται, εὐχαριστεῖ τῷ ἐπουρανίῳ Πατρὶ, τῷ πέμψαντι τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ εἰς ἡμῶν ἀπολύτρωσιν, ὃς ἅπασαν τὴν ὑπὲρ ἡμῶν Οἰκονομίαν ταύτην πληρώσας, ἔλαβε τὸν ἄρτον ἐν ταῖς Ἁγίαις αὐτοῦ χερσὶ, καὶ ἁγιάσας, καὶ κλάσας, ἔδωκε τοῖς Ἁγίοις αὐτοῦ Μαθηταῖς καὶ Ἀποστόλοις. Ἐπεὶ τοίνυν ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς Ἀρχιερεὺς ἐκεῖνος, εἰς Θυσίαν ἑαυτὸν τῷ Πατρὶ προσήγαγε· καὶ ὁ Ἱερεὺς ἄρα ταῦθ' ἅπερ ὁ Χριστὸς ἐποίησεν ἐκμιμούμενος, θυσίαν ἀληθινὴν καὶ τελείαν ἐν τῇ Ἐκκλησίᾳ τῷ Θεῷ καὶ Πατρὶ τηνικαῦτα προσάγει. (Καν: Ἀποσ: Βιβλ: Η΄. Κεφαλ: ΙΒ΄. Καὶ Κύριλ: Ἐπισ: ΞΓ. Σελ: 230.)

## §. 209.

Ὁ Ἱερεὺς ἐπεύχεται: Μεμνημένοι „τοίνυν τῆς Σωτηρίου ταύτης ἐντολῆς, καὶ „πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων: „τοῦ Σταυροῦ, τοῦ Τάφου, τῆς Τριημέρου „Ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, „τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας „καὶ ἐνδόξου πάλιν παρουσίας: (Ἐκφώνως:)

„Τὰ

„Τὰ Σὰ ἐκ τῶν Σῶν Σοὶ προσφέρομεν, κατὰ πάντα,
„καὶ διὰ πάντα.

Ἀναμιμνήσκων τὴν σωτηριώδη ἐντολὴν ταύτην· τόν τε Σταυρὸν, τὸν Τάφον, τὴν τριήμερον Ἀνάστασιν, τὴν εἰς οὐρανοὺς Ἀνάβασιν, (τὴν ἐκ δεξιῶν Καθέδραν,) καὶ τὴν ἔνδοξον πάλιν δευτέραν παρουσίαν, ἐκφωνεῖ: Τὰ Σὰ ἐκ τῶν Σῶν Σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα. Τουτέστιν: ἡμεῖς τὴν μνήμην ἀνακαλοῦμεν σήμερον ἁπάντων, ὅσα ὑπὲρ ἡμῶν διὰ τῆς Σῆς συγκαταβάσεως ᾠκονόμησας κατελθὼν ἀπ᾽ οὐρανοῦ, παθὼν, Τριήμερος ἐξαναστὰς, εἰς οὐρανοὺς τε πάλιν ἀναβὰς· καὶ τὸ δεύτερον πάλιν μετὰ δόξης μέλλων ἐπανελεύσεσθαι. Ὑπὲρ τούτων ἁπάντων, τῶν Σῶν περὶ ἡμᾶς εὐεργετημάτων, ὧν κατηξίωσας, οὐδὲν ὅ,τι μὴ Σὸν, καὶ ἐκ τῶν Σῶν Σοὶ ἀντιπροσενεγκεῖν ἔχομεν.

§. 210.

Ἐν ᾧ δὴ ταῦτα προφέρεται, ὁ Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, καὶ ἐπαίρει τόν τε Ἅγιον Δίσκον, καὶ τὸ Ἅγιον Ποτήριον, ὡς προσφορὰν τὴν ὑπὸ τοῦ Σωτῆρος τοῦ κόσμου διατεταγμένην, ἐπιλέγων:

λέγων: Τὰ Σὰ ἐκ τῶν Σῶν Σοὶ προσφέρομεν, κατὰ πάντα, καὶ διὰ πάντα.

§. 211.

Ὁ Χορὸς: Σὲ ὑμνῦμεν, Σὲ εὐλογῦμεν, Σοὶ εὐχαριςῦμεν Κύριε, καὶ δεόμεθάσυ ὁ Θεὸς ἡμῶν. Δι᾽ ὧν, τὴν ἐν εἰλικρινείᾳ ψυχῆς, καὶ ἀγάπη ὑπὸ τῶν παρεςώτων ἀπονεμομένην τῷ Θεῷ εὐχαριςίαν μαρτύρεται.

§. 212.

Ὁ Ἱερεὺς ἐπεύχεται. Ἔτι προσφέρομέν Σοι τὴν λογικὴν ταύτην καὶ ἀναίμακτον λατρείαν· καὶ παρακαλῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ Πνεῦμα Σῦ τὸ Ἅγιον ἐφ᾽ ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα Δῶρα ταῦτα. Καὶ ὁ μὲν Διάκονος ἀποτίθησι τὸ Ῥιπίδιον, καὶ ἔρχεται ἐγγύτερον τῷ Ἱερεῖ· καὶ προσκυνῦσιν ἀμφότεροι τρὶς, ἔμπροσθεν τῆς Ἁγίας Τραπέζης εὐχόμενοι καθ᾽ ἑαυτὺς, καὶ λέγοντες: Κύριε ὁ τὸ Πανάγιόν Σῦ Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποςόλοις Σῦ καταπέμψας, τῦτο ἀγαθὲ μὴ ἀνταν έλῃς ἀφ᾽ ἡμῶν, ἀλλ᾽ ἐγκαίνισον ἡμῖν δεομένοις Σῦ.

Ὁ Διάκονος δὲ μεθίςαται ἐν ᾧ πρότερον ἵςατο τόπῳ, καὶ λαβὼν τὸ ῥιπίδιον ῥιπίζει τὰ Ἅγια, ὡς καὶ πρότερον.

Ὁ δὲ Ἱερεὺς ἐπεύχεται: „Ὥςε γενέσθαι τοῖς μεταλαμβάνυσιν εἰς νῆψιν „ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοι-

„νωνίαν

„νωνίαν τȣ῀ Ἁγίȣ Σȣ Πνεύματος, εἰς Βα-
„σιλείας ȣ᾽ρανῶν πλήρωμα, εἰς παῤῥησίαν
„τὴν πρὸς Σὲ, μὴ εἰς κρῖμα, ἢ εἰς κα-
„τάκριμα. Ἔτι προσφέρομέν Σοι τὴν λο-
„γικὴν ταύτην λατρείαν ὑπὲρ τῶν ἐν
„πίστει ἀναπαυσαμένων Προπατόρων, Πα-
„τέρων, Πατριαρχῶν, Προφητῶν, Ἀπο-
„στόλων, Κηρύκων, Ἐυαγγελιστῶν, Μαρ-
„τύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καὶ
„παντὸς πνεύματος δικαίȣ, ἐν πίστει τε-
„τελειωμένȣ.

Ὁ δὲ Διάκονος θυμιᾷ τὴν Ἁγίαν Τράπεζαν γύρωθεν, καὶ μνημονεύει ὧν βȣ́λεται ζώντων καὶ τεθνεώτων.

Ὁ Ἱερεὺς δὲ τὴν τȣ῀ Παναγίȣ Πνεύματος χάριν, ἐπὶ τὰ Δῶρα ἐπικαλȣ́μενος λέγει: Ποίησον τὸν μὲν Ἄρτον τȣ῀τον, τίμιον Σῶμα τȣ῀ Χριστȣ῀ Σȣ· τὸ δὲ ἐν τῷ Ποτηρίῳ τȣ́τῳ, τίμιον αἷμα τȣ῀ Χριστȣ῀ Σȣ, μεταβαλὼν τῷ Πνεύματί Σȣ τῷ Ἁγίῳ.

Α΄. Ἐπὶ τῆς Τραπέζης τίθεται τὸ Ποτήριον καὶ ὁ Ἄρτος. Ἐν δὲ τῷ Ποτηρίῳ οἶνος ἐγχεῖται, καὶ ποσὸν ἔτι καὶ ὕδατος. Ἐν γὰρ τῷ καιρῷ τȣ῀ Κυριακȣ῀ πάθȣς, εἷς τῶν Στρατιωτῶν λόγχῃ αὐτȣ῀ τὴν πλευρὰν ἔνυξε· προέβλυσε δὲ ἐκ τῆς πλευρᾶς αὐτȣ῀ ὕδωρ καὶ αἷμα. Διατί ὕδωρ;

ὕδωρ; καὶ διατὶ αἷμα; ὕδωρ μὲν, ἵνα καθαρίσῃ· Αἷμα δὲ, ἵνα ἐξαγοράσῃ. (Ἀμβρὸσ: ἐν Ε΄. Βιβλ: τῶν περὶ Μυςηρ: Κεφ: Α΄: Σελ. 393.)

Β΄. Ὀυ δύναται δὲ, ἅπερ ὁ Θεὸς δωρεῖται, τῇ τοῦ Ἱερέως δυνάμει ταῦτα ἐπιτελεῖσθαι. Πάντα ἐκ τῆς Χάριτος ἤρτηται· τοῦ μὲν Ἱερέως ἐςὶ τὸ ςόμα διανοῖξαι, τὰ δὲ λοιπὰ ὁ Θεὸς ποιεῖ. Ὁ μὲν Ἄρτος ἐςὶν ὁ αὐτὸς, κᾂν ὑπὸ τοῦ ἐλαχίςου προσφέροιτο· κᾂν Παῦλος, κᾂν Πέτρος ᾖ ὁ προσφέρων, εἷς καὶ ὁ αὐτὸς ἐςὶν ὁ Ἄρτος, ὃν ὁ Χριςὸς τοῖς Ἀποςόλοις ἔδωκε· καὶ αὐτὸν οὐχ οἱ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ᾽ αὐτὸς ἐκεῖνος ὁ ἁγιάζων ἐςίν. * (Χρυσός: εἰς τὴν Β΄. τῶν Πρὸς Τιμόθ: Ἐπις.

Γ΄. Διὰ τοῦτο δὲ ὑπὸ τῆς Ἐκκλησίας διετάχθη κατ᾽ ἐκεῖνο τοῦ χρόνου τὸν Κώδωνα ἀνακρούεσθαι, ἵνα μὴ μόνον οἱ ἐν τῷ Ναῷ ἐςῶτες, εἰς θερμοτέραν διεγείρωνται δέησιν, ἀλλ᾽ ἔτι καὶ οἱ ἀπόντες· εἴτε οἴκοι, εἴτε καθ᾽ ὁδὸν ὄντες, ἢ ἐν ἀγρῷ πονοῦντες, ἢ περὶ πολιτικὰς ἑτέρας πράξεις ἐνασχολούμενοι, Θεὸν ὡς καὶ οἱ λοιποὶ ἐκδυσωπῶσι, τὸ δῶρον ἀξιῶσαι προσέσθαι, τὸ παρὰ τῆς Ἐκκλησίας αὐτῷ

 προσφε-

προσφερόμενον. (Κύριλ: ὁ Ἱεροσολυμ: περὶ τῆς Λειτεργ: Τμήμ: Ζ.)

Ἐπὶ τῆς Λειτεργίας τε̃ Μ. Βασιλείε, ἐν τῇ Ἐυχῇ: Διὰ τε̃το Δέσποτα Παιάγιε κτ: Μεταξὺ τῶν δὲ τῶν ῥημάτων ἢ ἁγιάσαι, ἢ ἀναδεῖξαι: παρεντίθεται ἡ Ἱκεσία: ὁ Θεὸς ἱλάσθητί μοι τῷ Ἁμαρτωλῷ Καὶ ἡ: Κύριε ὁ τὸ Παναγιόν Σε Πνεῦμα, κτ: Τὰ γάρτοι λεχθέντα: Ἁγιάσαι καὶ ἀναδεῖξαι: ἀναφέρεται πρὸς τὰ ἐφεξῆς ἑπόμενα: τὸν μὲν Ἄρτον τε̃τον κτ: τὸ δὲ ἐν τῷ Ποτηρίῳ τέτῳ κτ: Ἐκπεραίνεται δ᾽ ὅτως: Ἡμᾶς δὲ πάντας τὲς ἐκ τε̃ ἑνὸς Ἄρτε, κτλ:

§. 213.

Ἐπὶ Χειροτονίας Ἱερέως, ὁ Χειροτονήσας Ἐπίσκοπος, ἐγχειρίζων τηνικάδε τῷ Χειροτονηθέντι μοῖραν ἐκ τῶν Ἁγίων Δώρων, Λάβε (φησὶ) τὴν παρακαταθήκην ταύτην κτ: Δι᾽ ὧν δὴ μαρτυρεῖ, ὡς αὐτὸς ἐςὶν ὁ τῶν του Θεε̃ Μυςηρίων διανομεὺς· καὶ ὡς ὁ Ἱερεὺς τὰ Δῶρα ταῦτα παραλαμβάνων, ἐυσεβῶς τε καὶ ἐυλαβῶς εἰς ἀεὶ ὀφείλει αὐτὰ μετιέναι· ἢ ὅτι, τὴν Ἁγιωτάτην παρακαταθήκην ταύτην παραδεξάμενος ὑπὸ χρέος καθίςαται, ἢ τὲς αὐτε̃ τῇ κηδεμονίᾳ παραδοθέντας, τῷ τε καθ᾽ ἑαυτὸν

ἑαυτὸν παραδείγματι καταρτίζειν, καὶ τῷ τῆς Διδασκαλίας λόγῳ πρὸς βίȣ ἀκεραιότητα καὶ ἀκρίβειαν διεξάγειν· ἵνα ὡς Χριςȣ̃ μέλη, παντὸς ἀνοσιȣργημάτων ῥύπȣ, καὶ πάσης ἀνομιῶν κηλῖδος ἀπηλλαγμένȣς, καὶ παραφυάδων δίκην καλῶς τῇ ῥίζῃ τῷ Χριςῷ σιωημμένȣς, ἐπὶ τῆς φοβερᾶς κρίσεως, ἀμώμȣς αὐτȣ̀ς παραςήσειε καὶ ἀνεπιλήπτȣς· καὶ ὅτω διπλῆς ἀξιωθείη τῆς ἀντιδόσεως· μηδὲ τὸ κρῖμα τῆς καταδίκης, ἑαυτῷ ἐπισπάσαιτο.

§. 214.

Ὁ Ἱερεὺς ἐκφώνως: Ἐξαιρέτως τῆς Παναγίας ἀχράντȣ, ὑπερευλογημένης, ἐνδόξȣ, Δεσποίνης ἡμῶν Θεοτόκȣ καὶ ἀειπαρθένȣ Μαρίας.

Διὰ τȣ̃δε τȣ̃ Ἄσματος ἡ Ἐκκλησία ὁμολογεῖ τὴν ὑπεράγνον Θεοτόκον, ὡς ὑπερτέραν τῶν Ἁγίων ἁπάντων ὑπάρχȣσαν. Μνημονεύονται δὲ προσέτι καὶ οἱ λοιποὶ τῶν Ἁγίων· ἔπειτα καὶ οἱ Κεκοιμημένοι, καὶ οἱ ἔτι ζῶντες. Καθότι ἅπαντες διὰ τῆς θυσίας τȣ̃ Σωτῆρος ἡμεῖς σιωαπτόμεθα, καὶ συγκληρονόμοι αὐτοῖς ἐσμὲν· καὶ δὴ καὶ ὅτι, ὑπὲρ ἡμῶν πρεσβεύειν οἱ Ἅγιοι δύνανται. (Συμεὼν Θεσσαλ: Τμήμ: ΠΖ. Ἡμεῖς ὑπὲρ ὑμῶν ἁπάντων εὐχόμεθά τε καὶ ἱκετεύο-

μεν. Καὶ ὁ Θεῖος Χρυσόστομος εἰς τὴν πρὸς Θεσσαλον: Ὁμιλ: Δ΄.)

§. 215.

Ὁ Διάκονος ἀναγινώσκει τὰ Δίπτυχα, μνείαν ἐν αὐτοῖς τῶν Κεκοιμημένων ποιούμενος. Ὁ δὲ Ἱερεὺς εὐχόμενος ἐπικαλεῖται Ἰωάννην τὸν Προφήτην, καὶ Πρόδρομον, καὶ Βαπτιστήν· καὶ τοὺς Ἁγίους ἐνδόξους καὶ πανευφήμους Ἀποστόλους, κτ:

Τὸ δὲ Δίπτυχον, Βιβλίον ἐστὶν, ἤτοι τεῦχος, ἐν ᾧ τὰ ζώντων καὶ τεθνεώτων ὀνόματα καταλέγεται γεγραμμένα, ὥστε μνημονεύεσθαι ἐν ταῖς Συνάξεσιν.

Ὁ μὲν οὖν θεῖος Κυπριανὸς (ἐν Ἐπισ. Ξ΄.) οὕτω γράφει: Μνημονεύοντες ἀναφέρετε τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς ὑμῶν, ἐν ᾧ προσεύχεσθε. Ταύτῃ καὶ γὰρ, ὑπὲρ ὧν ὑπ' ἐκείνων εὖ παθόντες ἐστὲ, μεταξὺ τῆς Ἱερουργίας, τὰς ὑμετέρας ἱκεσίας ἀντιδίδοτε αὐτοῖς· ὧν τὰ ὀνόματα πρὸς ὑμᾶς ἀπέσταλκα. Ὅ, τε θεῖος Χρυσός: (ἐν Ὁμιλ: ΙΗ΄. εἰς τὰς Ἀποστολ: Πράξ:) Θρέψον (φησὶ) Διδάσκαλον· θρέψον Διάκονον, καὶ Ἱερατικὸν Σύστημα. Εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ Σὲ· Προσφοραὶ καθ' ἑκάστην Κυριακήν. Ἐννόησον, ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας Σὺ τὸν μισθὸν ἕξεις, ὁ ἀναστήσας θυσιαστήριον τοῦ Θεοῦ. Τὸ μὲν οὖν τῆς τῶν Διπτύχων χρήσεως, ὅσῳ δίκαιόν τε

καὶ

καὶ ἄξιον, ἔπεσι μαθεῖν κἀκ τῆς Βιογραφίας τοῦ Αὐτοῦ Πατρὸς: ὅτε Θεόφιλος ὁ Ἀλεξανδρείας, τὸ ἐκείνου ὄνομα ἐν τοῖς Διπτύχοις καταγραφῆναι ἀπείρηκεν, οὐκ εἰκότα διανοηθεὶς, οὐδὲ ἔννομα. Τὴν δὲ τῆς τοιαύτης ἀπομνημονεύσεως ἐπισύςασιν ἔχομεν καὶ ἐκ διατάξεως Ἀποςολικῆς. (ἐν Βιβλ: Γ. τῶν Ἀποςολ: Καν.) Πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ Ἱκετηρίας. Πολλὴ γάρ ἡ ἐντεῦθεν ὄνησις, κατὰ τὸν Χρυσ: (εἰς τὰς Πράξ: τῶν Ἀπος: Ὁμιλ: ΚΑ'. ἄλλ: ΚΕ.) Δυσωπήσει, τοῦτο τὸν Θεὸν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γίνεται τῆς ἐλεημοσύνης. Καὶ τοῦτο δόγμα τῆς τοῦ Θεοῦ Φιλανθρωπίας ἐςὶν . . , . οὐκ εἰκῆ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται, οὐκ εἰκῆ Ἱκετηρίαι, οὐκ εἰκῆ ἐλεημοσύναι. Ταῦτα πάντα τὸ Πνεῦμα διέταξε, δι' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. Οὐχ ἁπλῶς ὁ Διάκονος βοᾷ ὑπὲρ τῶν ἐν Χριςῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων.

Οἰόμεθα γοῦν, ὅτι καὶ ταῖς τῶν ἐν μεγάλοις ἐγκλήμασι περιπεπτωκότων ψυχαῖς, οὐ μικρὸν τὸ ὄφελος ἐπιγίγνεται ἐκ τῆς ἀναιμάκτου προσφερομένης θυσίας, καὶ τῶν ἐκχεομένων, ἐν αὐτῇ τελουμένῃ, ἱκεσιῶν καὶ δεήσεων, πρὸς τὸν ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχοντα

Κύριον

Κύριον καὶ Θεὸν ἡμῶν. Ἡ γὰρ παρ' ἡμῶν προσφορὰ, κἂν μικρά τις ᾖ, καὶ πολλῷ ἐλάσσων τοῦ δέοντος, ἀλλὰ Θεῷ προσαγομένη ἐστὶν εὐάρεστος, ὁσάκις τὸ κατὰ δύναμιν ἐκπληροῦντες τὰς ἐτησίους ταύτας ἀπομνημονεύσεις καὶ ἐκδυσωπήσεις ποιούμεθα. (Ἀθαν: ἐν Ἀποκρ: ΛΔ'. τῶν πρὸς Ἀντίοχον.)

Τῆς τοίνυν ἀναιμάκτου Ἱερουργίας ἐκτελεσθείσης, Θεὸν ἐξιλασάμενοι, αἰτήσεις προβαλλόμεθα ὑπὲρ εἰρήνης τε καὶ εὐσταθείας τῶν Ἐκκλησιῶν, καὶ ὑπὲρ τοῦ σύμπαντος κόσμου, καὶ ὑπὲρ τῶν Βασιλέων, καὶ τοῦ στρατοῦ, καὶ ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων, ἢ ἄλλως ἐν θλίψεσι περιστατουμένων· καὶ κοινῇ τὴν Ἱερουργουμένην θυσίαν τῷ Θεῷ πάντες προσφέρομεν ὑπὲρ πάντων. Ἐν δὲ δὴ τούτοις, καὶ τῶν προαναπαυσαμένων μνημονεύομεν: Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Μαρτύρων κτ: ἵνα ταῖς ἐκείνων πρεσβείαις, καὶ τὰς ἐξ ἡμῶν ἱκεσίας ὁ Θεὸς προσδέξασθαι ἀξιώσειεν· Ἔπειτα δὲ, καὶ ὑπὲρ τῶν ἐν μέρει πιστῶν ἀντιβολοῦμεν, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, πάνυ μεγίστην πιστεύοντες τὴν

ὄνησιν

ὄνησιν ἐντεῦθεν ταῖς ψυχαῖς ἐσομένην, ὑπὲρ ὧν, ἐνώπιον τῆς φρικτῆς ταύτης Θυσίας, ἡμῶν ἡ δέησις τῷ Θεῷ προσφέρεται. (Ὅρα καὶ Γρηγόρ: τὸν Ναζιανζ: ἐν Ὁμιλ: Ι΄. εἰς Καισάρειον. Καὶ ἐν τοῖς Ἀποστολ: Καν: Βιβλ: Η΄. Κεφ: ΙΒ΄. Καὶ Κύριλ: Ἱεροσολ: Περὶ τῆς Λειτουργ: Τμήμ: Η΄. 9. Καὶ τὸν Ἀρεωπαγ: ἐν τῷ περὶ τῆς Ἐκκλ: Ἱεραρχ: Κεφ: Γ΄. Ὁμιλ: Γ΄. § 9.)

§. 216.

Ὁ Ἱερεὺς: Ἐν πρώτοις μνήσθητι Κύριε κτ: ὁ Χορὸς, ὡς ἐκ προσώπου παντὸς τοῦ λαοῦ ἐκφωνεῖ: Καὶ πάντων καὶ πασῶν.

Οὐ μόνος ὁ Ἱερεὺς εὐχόμενος ἱκετεύει, ὁ τὴν Θυσίαν προσάγων ὑπὲρ τῶν ὀρθοδόξων· ἀλλὰ καὶ πᾶς ὁ λαὸς μνημονεύει τῶν οἰκείων, καὶ ἀντιβολεῖ ὑπὲρ πάντων, καὶ ὑπὲρ πασῶν: τουτέστι καὶ ὑπὲρ τῶν Ἀνδρῶν, καὶ ὑπέρ τῶν Γυναικῶν.

§. 217.

Ὁ Ἱερεὺς: Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζειν καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά Σου τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἐνταυ-

Ἐνταῦθα ὁ Ἱερεὺς ἱκετεύει Θεὸν, ἵνα συνημμένας ἀλλήλαις τὰς τῶν πιςευόντων καρδίας, καὶ πρὸς τὴν αὐτοῦ συνάψειεν αἴνεσιν καὶ δοξολογίαν· καὶ ὥσπερ κατ' ἀρχὰς ἐν τῇ Ἐκκλησίᾳ, ἡ τοῦ πιςοῦ λαοῦ ψυχὴ καὶ καρδία μία ὑπῆρχεν, οὕτω καὶ αἱ καρδίαι τῶν παρεςώτων εἰς ταὐτὸ συνέλθοιεν, κατὰ τὸ ῥηθὲν ὑπὸ τοῦ Σωτῆρος ἡμῶν: ἵνα ὦσιν ἕν.

§. 218.

Ὁ Χορὸς: Ἀμήν. — Ὡς γὰρ ἐκ προσώπου τοῦ περιεςῶτος λαοῦ, σύμπαντας ἅμα ἐπιμαρτυρεῖ ὁμοθυμαδὸν ὑμνεῖν τὸν Θεὸν καὶ δοξάζειν.

§. 219.

Καὶ ἔςαι τὰ ἐλέη τοῦ Μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριςοῦ μετὰ πάντων ἡμῶν.

Οὐδεὶς γὰρ οὕτως εὖ ἐςὶ διακείμενος πρὸς ὑποδοχὴν τοῦ Θείου ἐλέους καὶ τῆς αὐτοῦ χάριτος, ὡς ὁ εἰρηνικὸς. Διόπερ ὁ Ἱερεὺς τὴν τοιαύτην συνορῶν τῆς ψυχῆς διάθεσιν ἐν τοῖς παρεςῶσι, καὶ πρὸς τὴν μετάληψιν αὐτοὺς τῶν Μυςηρίων παρασκευάζων, ἐπικαλεῖται πρὸς αὐτοὺς τὰ θεῖα ἐλέη.

§. 220.

§. 220.

Ὁ Χορὸς: Καὶ μετὰ τȣ̃ Πνεύματός Σȣ.
Ὁ δὲ Διάκονος εὐκαίρως ἤδη ἐν τῷ συνήθει καθεςῶς τόπῳ, λέγει: Πάντων τῶν Ἁγίων μνημονεύσαντες κτ:

Τῆς Ἐκτενȣ̃ς ταύτης μνεία γίνεται ἐν τοῖς Κανόσι τοῖς Ἀποςολικοῖς: (Βιβλ: Η΄. Κεφαλ: ΙΓ΄.)

§. 221.

Ὁ Ἱερεὺς ἐπεύχεται: Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα Δέσποτα Φιλάνθρωπε κτ:

Ὁ μὲν Ἱερεὺς ἱκετεύει δεόμενος, ἵνα πάντες τῆς τῶν Μυςηρίων κοινωνίας γένοιντο ἄξιοι. Ὁ δὲ Διάκονος ἅπαντας διεγείρει, ὁμόψυχον προσάγειν τὴν δέησιν ἐπὶ τοῖς Δώροις τοῖς εἰς θυσίαν προσφερομένοις· ὅπως ὁ Θεὸς αὐτὰ εἰς τὸ ȣ̓ράνιον αὐτȣ̃ θυσιαςήριον προσδεξάμενος, ὡς προσφορὰν αὐτῷ εὐάρεςον, ἀντικαταπέμψῃ ἡμῖν τὴν χάριν τȣ̃ Παναγίȣ Πνεύματος.

§. 222.

Ὁ Ἱερεὺς: Καὶ καταξίωσον ἡμᾶς Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾷν, ἐπικαλεῖσθαι Σὲ τὸν ἐπȣράνιον Θεὸν Πατέρα, καὶ λέγειν: Πάτερ ἡμῶν, ὁ ἐν τοῖς ȣ̓ρανοῖς. κτ:

Ὁ Ἱερεὺς, μετὰ τὴν ῥηθεῖσαν Κυριακὴν εὐχὴν, ἐπιστρέψας πρὸς τὸν λαὸν, φησὶν: Εἰρήνη πᾶσιν. ὁ Διάκονος: Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ἀναμνηθέντες ὑπὸ τοῦ Ἱερέως, τῆς ἧς περ ἐλάχομεν θείας Υἱοθεσίας, ὡς καὶ Πατέρα ἐπιτολμᾶν ἐπικαλεῖσθαι, διὰ τῆς Κυριακῆς προσευχῆς, τὸν ἐν Οὐρανοῖς Θεὸν, ἐπικελευόμεθα τὸν αὐτὸν ἐπιγινώσκειν καὶ ὡς Δεσπότην καὶ Κύριον, καὶ τὴν προσήκουσαν Υἱϊκὴν ὑπακοὴν καὶ εὐπείθειαν αὐτῷ ἐπενδείκνυσθαι, τὰς κεφαλὰς ὑποκλίνοντες.

§. 223.

Ἐν ᾧ δὴ πάντες τὰς κεφαλὰς ὑποκλίνουσιν, ὁ Ἱερεὺς τὴν Εὐχὴν ἀναγινώσκει: Εὐχαριστοῦμεν Σοι Βασιλεῦ ἀόρατε κτ: ἤ, τὴν τοῦ Μεγάλου Βασιλείου, ταύτην: Δέσποτα Κύριε ὁ Πατὴρ τῶν οἰκτιρμῶν· κτ: Δι' ὧν μάλιστα ἐκδυσωπεῖ Θεὸν, εὐμενῶς καὶ ἱλέως ἐξ οὐρανοῦ ἐπιβλέψαι ἐπὶ τοὺς ὑποκεκλικότας αὐτῶν τὰς κεφαλὰς, εὐλογῆσαί τε αὐτοὺς, καὶ ἁγιάσαι, καὶ εἰς τὸ ἀγαθὸν ἐπιστηρίξαι: καὶ καταξιῶσαι δὲ αὐτοὺς ἀκατακρίτως μεταχεῖν τῶν προκειμένων Δώρων· καὶ κατὰ ταυτὸ καὶ

βοηθὸν

βοηθὸν παρεῖναι αὐτῶν ἑκάςῳ, ἐν ταῖς ἐπισυμβαινέσαις ἀνάγκαις καὶ περιςάσεσιν.

Ἔπειτα μετὰ ἐυλαβείας τε καὶ φόβυ προσιὼν πρὸς τὴν τῶν Μυςηρίων μετάληψιν, εὔχεται: Πρόσχες Κύριε! Αὐτὸν ἐπικαλέμενος τὸν Ἰησῦν Χριςὸν, ἐξ ὐρανοῦ ἅπαντας ἁγιάσαι, καὶ τῇ αὐτῦ κραταιᾷ χειρὶ μεταδῦναι τῦ ἰδίυ σώματός τε καὶ αἵματος, αὐτῷ τε δὴ, καὶ δι αὐτῦ παντὶ τῷ λαῷ.

§. 224.

Ὁ Διάκονος μεγαλοφώνως: Πρόσχωμεν: Καὶ ὁ Ἱερεὺς, Ὑψῶν τὸν Ἅγιον Ἄρτον ἐκφωνεῖ: τὰ Ἅγια τοῖς Ἁγίοις. Ὁ δὲ Χορὸς: Εἷς Ἅγιος. Εἷς Κύριος· Ἰησῦς Χριςὸς· εἰς δόξαν Θεῦ Πατρὸς· Ἀμὴν.

Πάντα τὰ τῆς Ἱερυργίας σωτελέσας, τὴν φρικτὴν ταύτην ἀφίησιν ὁ Ἱερυργὸς ἐκφώνησιν, ἥνπερ ἐν αὐτοῖς τοῖς Ἀποςολικοῖς Κανόσι (Βιβλ: Η΄. Κεφ: Γ΄.) τετυπωμένην ἐυρίσκομεν. Ὁ μὲν Διάκονος λέγει: πρόσχωμεν: Ὁ δὲ Ἐπίσκοπος ἐκφωνεῖ πρὸς τὸν λαὸν: Τὰ Ἅγια τοῖς Ἁγίοις: Ὁ δὲ λαὸς ἀποκρίνεται: Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησῦς Χριςὸς, εἰς δόξαν Θεοῦ Πατρὸς· ἐυλογη-

γητὸς

γητὸς εἰς αἰῶνας αἰώνων. Ἀμήν. Τὴν αὐτὴν δ' ἐκφώνησιν καὶ Κύριλλος ὁ Ἱεροσολυμίτης (ἐν τῇ Ε'. τῶν Μυσαγωγ: Κατηχήσ:) τοῖς ὑπ' αὐτοῦ μυσαγωγουμένοις ὡδέπως ἐξετίθετο: Μετὰ ταῦτα λέγει ὁ Ἱερεύς: Τὰ Ἅγια τοῖς Ἁγίοις: παρεσύναπτε δὲ· Ἅγια τὰ προκείμενα, ἐπιφοίτησιν δεξάμενα Ἁγίου Πνεύματος· Ἅγιοι δὲ καὶ ὑμεῖς, Ἁγίου Πνεύματος καταξιωθέντες. Τὰ Ἅγια οὖν, τοῖς Ἁγίοις κατάλληλα. Εἶτα ὑμεῖς λέγετε: Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριςός. Ἀληθῶς γὰρ, εἷς Ἅγιος, Φύσει Ἅγιος· Ὑμεῖς δὲ καὶ Ἅγιοι, ἀλλ' οὐ φύσει, ἀλλὰ μετοχῇ, καὶ ἀσκήσει, καὶ εὐχῇ. Καὶ ὁ Θεῖος δὲ Χρυσόςομος (Ἐν Ὁμιλ: ΙΖ'. τῶν εἰς τὴν πρὸς Ἑβρ: Ἐπις:) Ὅτε λέγει τὰ Ἅγια τοῖς Ἁγίοις: διὰ τοῦτο λέγει, ὡς ἂν μήτις προσίῃ μὴ Ἅγιος ὤν. Οὐχ ἁπλῶς δὲ φθέγγεται, μὴ καθαρὸς ὑπάρχων ἁμαρτημάτων, ἀλλὰ Ἅγιος: τὸν γὰρ Ἅγιον, οὐ μόνον τὸ ἁμαρτιῶν ἀπηλλάχθαι ποιεῖ, ἀλλὰ καὶ ἡ τοῦ Πνεύματος ἐπίπνοια, καὶ ἡ τῶν ἀγαθῶν ἔργων περιουσία. Καὶ τοῦτο ἄρα φρικτῇ τῇ φωνῇ: τὰ Ἅγια τοῖς Ἁγίοις: ὁ Ἱερεὺς μέγα ἀνακραυγάζων, τοὺς μὲν καλεῖ, τοὺς δὲ ἀπείργει.

§. 225.

Καὶ ὁ Χορὸς ᾄδει τὸ Κοινωνικὸν τῆς ἡμέρας. Ἐν δὲ τούτῳ, οἱ τῇ Ἱερᾷ καθυπουργοῦντες Τραπέζῃ μετὰ πραείας τε καὶ εὐλα-

εὐλαβῦς φωνῆς προσευχόμενοι, τῶν Ἁγίων ϗ ἀχράντων μεταλαμβάνυσι Μυςηρίων. Ἵνα δὲ μὴ περισπῶνται οἱ παρισάμενοι, περί παντοίας καὶ ἀπρεπεῖς τῷδε τῷ Μυςηρίῳ διενθυμήσεις, διὰ δὴ τῦτο, ᾠδάς τινὰς ὁ χορὸς ἐπιλέκτυς ἐκ τῆς Ἱερᾶς Γραφῆς προσεπᾴδει, τῷ κατὰ τὴν ἀγομένην ἑορτὴν Ἁγίῳ, ἤ τῇ ἄλλως ὑποκειμένῃ ὑποθέσει προσανηκύσας· καὶ τὴν προσοχὴν τῦ λαῦ ἀντιμεθελκύσας ἐπὶ λογισμὺς Χριςιανῷ πρέποντας.

## §. 226.

Ὁ Διάκονος εἰσέρχεται ἐν τῷ Ἁγίῳ Βήματι, καὶ ςὰς ἐκ δεξιῶν τῦ Ἱερέως, κρατῦντος τὸν Ἅγιον Ἄρτον, λέγει: Μέλισον Δέσποτα τὸν Ἅγιον Ἄρτον. κτ: Οὕτω δὲ φησὶν, ἀναμιμνήσκων τὴν ὑπὸ τῦ Σωτῆρος ἡμῶν γενομένην τῦ Ἄρτυ κλάσιν, ἡνίκα τοῖς Μαθηταῖς αὐτὸν διένεμε λέγων: Λάβετε, φάγετε, τῦτο ἐςὶ τὸ Σῶμαμυ κτ: (Ματθ. Κϛ. ἐδ: 26. Μαρκ. ΙΔ. 26. Λυκ: ΚΒ΄. 19.)

## §. 227.

Καὶ ὁ Διάκονος δεικνύων τῷ ὠραρίῳ τὸ Ἅγιον Ποτήριον, λέγει: Πλήρωσον Δέσποτα τὸ Ἅγιον Ποτήριον: Ὁ δὲ Ἱερεὺς λαβὼν

βὼν τὴν ἄνω κειμένην μερίδα, τὴν ἐπισημανθεῖσαν Ἰησοῦς, ποιεῖ σὺν αὐτῇ Σταυρὸν ἐπάνω τοῦ Ἁγίου Ποτηρίου λέγων: Πλήρωμα Πνεύματος Ἁγίου: καὶ οὕτως ἐμβάλλει εἰς τὸ Ἅγιον Ποτήριον. Ὁ Διάκονος: Ἀμήν.

Σημαίνει δὲ, ὡς Συμεὼν ἐξηγεῖται ὁ Θεσσαλονίκης, (Κεφ: ϙΘ΄.) ὅτι εἷς ὁ Χριστὸς ἐστὶν, ὁ ἐν τῷ Ποτηρίῳ, καὶ ἐν τῷ Ἄρτῳ.

§. 228.

Δεχόμενος ὁ Διάκονος τὸ ζέον ὕδωρ, λέγει πρὸς τὸν Ἱερέα: Εὐλόγησον Δέσποτα τὸ ζέον.

§. 229.

Ὁ δὲ Ἱερεὺς εὐλογεῖ λέγων: Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων Σου, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Ὁ Διάκονος δὲ, ἐγχέει (τὸ ἀρκοῦν) Σταυροειδῶς, λέγων: Ζέσις πίστεως, πλήρης Πνεύματος Ἁγίου. Ἀμήν.

α) Ἐπειδὴ μνήμην τῶν Χριστοῦ παθημάτων ἐν πάσαις ταῖς Ἱερουργίαις ποιοῦμεθα, τὰ αὐτὰ ἄρα ἐκεῖνα, ἃ μόνος ἐποίησε, καὶ ἡμᾶς ὡσαύτως πρέπον ἐστὶν ἐν εὐσεβείᾳ ἐπιτελεῖν· τουτέστι τὴν αὐτοῦ τοῦ Κυρίου παράδοσιν διασώζοντας, δέον τὸ

Ποτή-

Ποτήριον ἀνακεραννύειν τε καὶ προσφέρειν. (Κυπριαν: ἐν Ἐπις: ΞΓ΄.)

ϛ) Οἱδὲ Διάκονοι ἑνὶ ἑκάςῳ παρέχουσιν Ἄρτον, καὶ οἶνον σὺν ὕδατι· (ὅρα Ἰουςῖν: τὸν Μάρτυ: ἐν Α΄. Ἀπολογ: Σελ: 96.) Ἡ δ᾽ ἀνάκρασις αὕτη, ἐπεγκρίνεται ἐν ταῖς, κατά τε τὸν Μέγαν Βασίλειον, καὶ τὸν Θεῖον Χρυσόςομον Λειτουργίαις. Καὶ Ἑρμᾶν δ᾽ ὁ Θεσπέσιος γράφων, τοῦτο γίνεσθαι (φησὶν) εἰς ἔνδειξιν: ὅτι τὸ ἐκπηγάσαν αἷμα ἐκ τῆς Πλευρᾶς τοῦ Σωτῆρος, διάθερμον ἦν· Τὸ δ᾽ αὐτὸ καὶ Συμεὼν ἐπιβεβαιοῖ ὁ Θεσσαλονίκης, ἐν τῷ Βιβλίῳ τῷ περὶ τοῦ Θείου Ναοῦ.

§. 230.

Ἐπὶ τῆς Ἱερουργίας ταύτης Ἄρτῳ Χρώμεθα ἐνζύμῳ· οἱ γὰρ Ἱεροὶ Εὐαγγελιςαὶ, οἱ τὰ τοῦ Μυςικοῦ Δείπνου Γραφῇ παραδεδωκότες, τὰς μὲν καθ᾽ ἃς ἐτελέσθη ἡμέρας ἀποκαλοῦσι τῶν Ἀζύμων: Διεξιόντες δὲ τὰ περὶ τοῦ Μυςικοῦ αὐτοῦ Δείπνου, ἐν ταῖς ἡμέραις τῶν Ἀζύμων, φασὶν, Ἄρτον λαβεῖν τὸν Κύριον: οὐκ ἄζυμον δηλονότι. Καὶ ἐν ταῖς τῶν Ἀποςόλων δὲ Πράξεσιν (Κεφ: Β. 20. καὶ 27.) ὁ Ἱερὸς Λουκᾶς συμφώνως φαίνεται περιγεγρα-

ριγεγραφῶς, τὴν Ἐκκλησίαν ἄνωθεν τῷ τοιῷδε Ἄρτῳ προχρήσασθαι. Καὶ Παῦλος δὲ ὁ Ἀπόστολος (ἐν τῇ Α΄. πρὸς Κορινθ:) ὡσαύτως. Καὶ ὐδεὶς ἐστὶν, ὃς τὸν περὶ ὗ ὁ λόγος Ἄρτον ἐκεῖνον, Ἄζυμον ἀπεκάλεσεν. Ὁ δὲ Ἱερὸς Ἀμβρόσιος (ἐν τοῖς περὶ τῶν Μυστηρ: Βιβλ: Ε΄. Κεφ: Α΄.) ἐπὶ τῆς Ἱερᾶς Τραπέζης (φησὶν) Ἄρτος τίθεται καὶ Ποτήριον· ἐν δὲ τῷ Ποτηρίῳ οἶνος ἐγχεῖται. Τί δ᾽ ἔτι; καὶ ὕδωρ.

Ὁ Ῥώμης Καρδινάλις ὁ Bona, ὁ ἐπὶ τῆς Δεκάτης ἕκτης τῶν ἀπὸ Χριςῦ Ἑκατονταετηρίδων βιὺς (ἐν τῷ περὶ τῆς Λειτυργίας Συγγράμματι αὐτῦ, Κεφαλ: ΚΓ΄.) μαρτυρεῖ γράφων: „Ἐπέκεινα τῶν „Ὀκτακοσίων ἐνιαυτῶν διατελέσαι προσ„χρωμένην Ἄρτῳ ἐνζύμῳ ἐπὶ τῆς Ἱερυρ„γίας, τὴν Ἐκκλησίαν τῆς Δύσεως· „περὶ δὲ τὴν ἐννάτην ἑκατονταετηρίδα, „ἤδη λήγυσαν, τὴν χρῆσιν τῶν Ἀζύμων „παρὰ τοῖς Δυτικοῖς τέως ἐπικρατῆσαι. . . . . Ἐπειδὴ γὰρ (φησὶν) ἐν „ταῖς Ἑορτασίμοις ἡμέραις, ὁ Ἱερεὺς ἦν „ὁ κοινωνῶν μόνος· ὁ δὲ λαὸς ἔν τισι „Χώραις, ἤτοι Ἄρτυς ὐδαμῶς ἦν προσ„φέρων· ἢ γοῦν προσφέρων μὲν ἦν, πρὸς „δὲ τὸ Ἱερυργηθῆναι ὐδαμῶς ἐπιτηδείυς·

„Διὰ

„Διὰ δὴ τοῦτο, ἡ τοῦ Ἄρτου παρασκευὴ
„τῷ Ἱερεῖ ἀνετίθετο, καὶ τῷ Κλήρῳ. Καὶ
„τοίνυν, ἐπεὶ ῥᾴδιον ἦν, Ἄρτους τηνικαῦ-
„τα παρασκευάζειν ἀζύμους, τούτοις κα-
„τήρξαντο χρῆσθαι ἀντὶ τῶν ἐνζύμων·
„κἀντεῦθεν ἅπασαι κατὰ μικρὸν αἱ τῇ
„Ῥώμῃ καθυπείκουσαι Ἐκκλησίαι τὰ Ἄ-
„ζυμα παρεδέξαντο.

Ὁ μέντοι Χρυσοῤῥήμων Πατὴρ, τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον ἐπάγων: Ὁσάκις ἐσθίετε τὸν Ἄρτον τοῦτον, τὸν Θάνατον τοῦ Κυρίου ἡμῶν καταγγέλλετε: οὗτος ἐστὶ (φησὶν) ὁ Δεῖπνος ἐκεῖνος, ὁ ἄχρι τῆς τοῦ Κόσμου συντελείας ἐν τῇ Ἐκκλησίᾳ τελεσθησόμενος: ἄχρις οὗ ἂν ἔλθῃ. (εἰς τὴν Α'. πρὸς Κορινθ: Κεφ: ΙΑ'. ἐδ: 26. ἐν Ὁμιλ: ΚΖ'.) Καίτοιγε μετὰ τὴν συντέλειαν τοῦ παρόντος αἰῶνος, οὐκέτι ἐπὶ τῆς μελλούσης μακαρίας λήξεως χρεία τοῦ τοιοῦδε Μυστικοῦ Δείπνου, τοῖς ἐν τῇ τῶν Πρωτοτόκων Ἐκκλησίᾳ πολιτευσομένοις. Οὐ γὰρ ἐν ἐκείνῃ οἱ τῆς θείας ἀπολαύσοντες δόξης διὰ μυστηρίων τῷ Θεῷ ἑνωθήσονται· ἀλλὰ τῶν ἐσόπτρων αὐτοῖς λυθέντων, ἐκτυπώτερον ἐν οὐρανοῖς τῆς τοῦ Θεοῦ μετουσίας μεθέξουσιν· ὅτι καὶ γνώσονται, καθάπερ οὗ καὶ ἐγνωσμένοι εἰσί. Νῦν δέ γε πίστει

 κοινω-

κοινωνοὶ θείας γινόμεθα φύσεως, καὶ δικαιέμεθα, καὶ ζῶμεν· ὁ γὰρ δίκαιος διὰ πίςεως ζήσεται: ἧς ἐκλιπέσης, ὁ ὁλοτελὴς παρακολεθεῖ θάνατος.

Διακρινάτωσαν, καὶ τρεμέτωσαν ἐπὶ τῇ αὐτῶν ἐξαπάτῃ, οἱ ἀσεβῶς ἢ ἀθέσμως ὑπολαμβάνοντες, ὡς ἡ τέτε τε Μυςηρίε χρῆσις, περὶ τὸ τέρμα τεδε τε κόσμε καταργηθεῖσα, καὶ πρὸ τῆς σωτελείας αὐτῆς τε αἰῶνος τέτε πεπαύσεται· καὶ γνώτωσαν, ὡς ἀνάξιοι εἰσὶ τε Χριςιανοὶ ὀνομάζεσθαι, οἱ τῆς Μυςηριώδες μεταλήψεως καταφρονεντες, ἤ γοῦν καὶ ἀμελῶς ἀπεχόμενοι. Ἡ γὰρ προσφορὰ αὕτη, ἀναγκαία τις ἐςὶ καὶ εσιώδης παρακαταθήκη τῇ Ἐκκλησίᾳ· καὶ ἀραρότως δέον τὴν μνήμην κατέχειν τῶν ῥημάτων τε Σωτῆρος ἐκείνων: Ἐὰν μὴ φάγητε τὴν Σάρκα τε Υἱε τε ἀνθρώπε, καὶ πίητε αὐτε τὸ αἷμα, εκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ἰωάν: ϛ. 53.

§. 231.

Ὁ Ἱερεὺς, καὶ οἱ λοιποὶ τῶν ἐν τῷ Θυσιαςηρίῳ Συλλειτεργέντων αὐτῷ, μεταλαμβάνεσιν ἐπὶ τῆς Ἁγίας Τραπέζης, λαμβάνοντες τὸ τοῦ Χριςε Σῶμα ἐν τῇ δεξιᾷ χειρὶ ὑπτίᾳ. Ἔπειτα καὶ ἐκ τε Ποτη-

Ποτηρίȣ πίνȣσι, τὰ χείλη προσάγοντες μετὰ ἀσφαλείας καὶ φόβȣ, ἐν ἐξομολογήσει ἀδισάκτῳ τε καὶ βεβαίᾳ, καὶ ἐν θερμῇ ἐπιμαρτυρήσει τῆς εἰς Χριςὸν πίστεως: ὅτι αὐτὸς ἐςὶν ὁ ἀληθινὸς Υἱὸς τȣ͂ Θεȣ͂ τȣ͂ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλȣ̀ς σῶσαι. Καὶ ὅτι τὰ εἰς μετάληψιν προτεθέντα Δῶρα, αὐτὸ εἰσὶ τὸ ἀληθὲς καὶ ȣ̓σιῶδες Σῶμα τε καὶ Αἷμα αὐτȣ͂. Κατὰ ταυτὸ δὲ, καὶ μετὰ δακρύων ἱκετεύȣσι, τῆς ἀφέσεως τῶν ἰδίων πλημμελημάτων τυχεῖν, καὶ ὑγείας ψυχῆς τε καὶ σώματος, ȣ̓́τω λέγοντες: Πιςεύω Κύριε καὶ ὁμολογῶ, ὅτι Σὺ εἶ ἀληθῶς ὁ Χριςὸς, ὁ Υἱὸς τȣ͂ Θεȣ͂ τȣ͂ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλȣ̀ς σῶσαι, ὧν πρῶτος εἰμὶ ἐγώ. Ὁ δὲ Ἱερεὺς μεταλαβὼν ἀπὸ τȣ͂ ἐν τῷ Ποτηρίῳ αἵματος τȣ͂ Χριςȣ͂, ψαύει τοῖς αὐτȣ͂ χείλεσι τὰ χείλη τȣ͂ Ποτηρίȣ· τȣ͂θ' ὅπερ καὶ οἱ λοιποὶ τῶν Ἱερȣργῶν ποιȣ͂σι, καὶ οἱ πιςοὶ πάντες: ἐπιλέγοντες τὰ Σεραφικὰ ἐκεῖνα, τὰ πρὸς τὸν Προφήτην Ἡσαΐαν (Κεφ: ς΄. 7.) ῥηθέντα: Τȣ͂το ἥψατο τῶν Χειλέων Σȣ, καὶ ἀφελεῖ τὰς ἀνομίας Σȣ, καὶ τὰς ἁμαρτίας Σȣ περικαθαριεῖ.

§. 232.

Τότε λαβὼν ὁ Διάκονος τὸν Ἅγιον Δῖσκον, ἐπάνω τῦ Ἁγίε Ποτηρίε, καὶ λέγων τὸ τῆς Ἀναςάσεως Ἆσμα: Ἀνάςασιν Χριςῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον Ἰησῦν τὸν κτ:, ἀποσπογγίζει τῷ Ἁγίῳ Σπόγγῳ τὰ ἐκ τῶν προσενεχθέντων μόρια, πάνυ ἀκριβῶς μετὰ προσοχῆς καὶ εὐλαβείας, ἐπιδεόμενος: Ἄφες Κύριε τὰς ἁμαρτίας τῶν ὧδε μνημονευθέντων, διὰ τῦ τιμίε Σε αἵματος, πρεσβείαις τῶν Ἁγίων Σε. Σκεπάζει δὲ τὸ Ἅγιον Ποτήριον τῷ καλύμματι. Ὁμοίως δὲ καὶ ἐπὶ τὸν Ἅγιον Δῖσκον ἀνατίθησι τὰ καλύμματα. Καὶ τελευταῖον ἐπιλέγει τὼ τῆς εὐχαριςίας Εὐχὼ ὁ Ἱερεὺς: „Εὐχαριςῦμεν Σοι Δέσ„ποτα Φιλάνθρωπε, εὐεργέτα τῶν ψυ„χῶν ἡμῶν· ὅτι καὶ τῇ παρῦσῃ ἡμέρᾳ „κατηξίωσας ἡμᾶς τῶν ἐπυρανίων Σε „καὶ ἀθανάτων Μυςηρίων. Ὀρθοτόμησον „ἡμῶν τὼ ὁδὸν. Στήριξον ἡμᾶς ἐν τῷ „Φόβῳ Σε τὲς πάντας· Φρύρησον ἡμῶν „τὼ ζωὼ· ἀσφάλισαι ἡμῶν τὰ διαβή„ματα· Εὐχαῖς καὶ Ἱκεσίαις τῆς ἐνδόξε „Θεοτόκε, καὶ ἀειπαρθένε Μαρίας, καὶ „πάντων τῶν Ἁγίων Σε.

Μετὰ

Μετὰ τὴν μετάληψιν ὁ Διάκονος, λαβὼν τὸν Ἅγιον Δῖσκον ἐπὶ τοῦ Ἁγίου Ποτηρίου, λέγει τό: Ἀνάστασιν Χριστοῦ θεασάμενοι κτ:, ὑποσημαίνων διὰ τούτου, ὡς ἐστὶν ἐλπὶς, ἡμᾶς μὲν ἐξαναστήσεσθαι ἐν τῇ δόξῃ τοῦ Σωτῆρος ἡμῶν· τὴν δὲ Ἐκκλησίαν, κατὰ τὴν ἐν τῇ δόξῃ Ἱερουσαλὴμ λαμπρυνθήσεσθαι· καὶ μὲν δὴ καὶ τοὺς τῶν θείων μεταλαμβάνοντας Μυστηρίων, συνενωθήσεσθαι καὶ αὐτοὺς τῷ Κυρίῳ Ἰησοῦ Χριστῷ, καὶ συνδοξασθήσεσθαι αὐτῷ ἐν τῇ αἰωνίῳ Βασιλείᾳ αὐτοῦ. Ἐνθέμενος δὲ ἐν τῷ Ποτηρίῳ, τὰς ἐκ τῶν προσενεχθέντων Ἄρτων, εἰς μνήμην ζώντων τε καὶ τεθνεώτων, ἀποληφθείσας μερίδας, καθικετεύει: Ἐκπλυνθείη ἐνταῦθα, τῷ τιμίῳ αἵματι τοῦ Σωτῆρος τοῦ κόσμου, τὰ τῶν μνημονευθέντων ἁμαρτήματα!

§. 233.

Καὶ οὕτως ἀνοίγουσι τὰς Πύλας τοῦ Ἁγίου Βήματος.

Τὸ κατ' ἀρχὰς μὲν, τοῖς τοῦ Μυστηρίου μεταληψομένοις ἡ Ἁγιστεία ἐτελεουργεῖτο· διὸ δὴ, οὐδὲ τὰ ἀμφίθυρα τοῦ Ἱεροῦ Βήματος συνεπεζυγοῦτο. Ἐπεὶ δ' ἐν χρόνοις ὕστερον, οὐκ ἐπὶ πάσης Λατουργίας, τοῖς Ἁγίοις Μυστηρίοις οἱ πάντες

προσίε-

προσίεσαν, πολλοὶ δ᾽ ἐδὲν ἥκιςα ἐπ᾽ αὐτῶν παρεῖναι τελεμένων ἐφίεντο· διὰ τῦτο ἡ Ἐκκλησία, τοῖς τε ἁγιςευομένοις, τὸ σέβασμα διασώζεσα, καὶ τῶν προσιόντων ἅμα τῇ εὐλαβείᾳ συγκαταβαίνεσα, ἐν αὐτῷ τῷ καιρῷ τῆς τελετεργίας τὰς θύρας τῦ Θυσιαςηρίε ἐπιζυγῦθαι ἔγνω δεῖν διατάξαθαι, πλλὼ τῶν ἡμερῶν τῶν τῦ Πάχα, ὅτε παραλείπονται αἱ θύραι ἀνεωγμέναι, διὰ τὸ ἐν ταύταις ταῖς πανεόρτοις σωάξεσι, καθ᾽ ἑκάςlω μονονεχὶ τὲς πάντας εἰωθέναι τῇ μεταλήψει προσέρχεθαι· ὥσπερ γὰρ τοῖς ἀμυήτοις, ὅυτω καὶ τοῖς μὴ κεκαθαρμένοις ἦ δέον, φρικτὴ ἡ Θέα καὶ ἄποπτος. Ὅθεν καὶ ὁ θεσπέσιος παραινεῖ Χρυσόςομος· (ἐν τῇ Γ΄. Ὁμιλ: τῇ εἰς τlὼ πρὸς Ἐφεσ: Ἐπις:) Ὅταν ἴδῃς, φάσκων, ἀνελκόμενα τὰ ἀμφίθυρα, τότε νόμισον διαςέλλεθαι τὸν ἐρανὸν ἄνωθεν, καὶ κατιέναι τὲς Ἀγγέλες· ὥσπερ τοίνυν τῶν ἀμυήτων ἐδένα χρὴ παρεῖναι, ἕτως ἐδὲ τῶν μεμυημένων καὶ ῥυπαρῶν.

§. 234.

Ὁ Διάκονος προσκυνήσας ἅπαξ, λαμβάνει τὸ Ποτήριον μετὰ εὐλαβείας· καὶ ἐλθὼν εἰς τlὼ θύραν, καὶ ὑψῶν τὸ Ἅγιον Ποτήριον, δείκνυσιν αὐτὸ τῷ Λαῷ, λέγων·

λέγων: Μετὰ φόβε Θεῦ καὶ πίςεως προσέλθετε.

Προσκαλεῖται ὁ Διάκονος τὲς παρεςηκότας, ὑπομιμνήσκων, πῶς ἄρα προσιτέον τῷ Μυςηρίῳ. Πῶς γὰρ οἷόν τε Χριςιανοῖς, ἐν ἡσύχῳ τῷ τῆς ψυχῆς σωτηρίας δότι τῶν φωνῶν ἐπαΐειν, τῶν ὅσαι εἰς δόξαν τῆς Ἐκκλησίας προφερομένων, τοσέτῳ τοῖς παρεςῶσιν, ἐπὶ τῇ περὶ τὸ πρᾶγμα ἀναπολογήτῳ ἀμελείᾳ τεινεσῶν εἰς κατάκρισιν; Διόπερ ὁ Χρυσός: (εἰς τὴν πρὸς Ἐφεσ: ἔνθ: ἀνωτ:) καὶ τὲς ἐπὶ τῆς παλαιᾶς Διαθήκης τὰς θυσίας προσάγοντας εἰς δεῖγμα προβάλλεται· Ἐννόησον, οἱ τῆς Θυσίας μετέχοντες τῆς παλαιᾶς, πόσῃ ἐκέχρηντο τῇ φειδοῖ . . . . Πάντοτε ἐκαθαίροντο. Σὺ δὲ Θυσίᾳ προσιὼν, ἣν καὶ Ἄγγελοι φρίττεσι . . . . Πῶς παραςήσῃ τῷ βήματι τε Χριςε, μιαραῖς χερσὶ, καὶ χείλεσι κατατολμῶν αὐτε τε σώματος;

Τὸ μὲν δὴ πάλαι, τὰ ἄχραντα Μυςήρια ἐν τῇ Ἐκκλησίᾳ ἑνὶ ἑκάςῳ τῶν πιςῶν κατὰ μέρος διενέμοντο, ὡς ὁ Ἱερὸς Ἀμβρόσιος μαρτυρεῖ, ἐν τῷ Λόγῳ τῷ εἰς τὸν τε Ἀδελφε αὐτε θάνατον. Ἰεςῖνος δὲ ὁ Μάρτυς, ἐν τῇ Β΄. τῶν αὐτε Ἀπολογιῶν περὶ τέτε γράφει τοιάδε: Ἀλλήλες φιλήματι ἀσπαζόμεθα παυσάμενοι τῶν εὐχῶν. Ἔπειτα

τα προσφέρεται τῷ προεστῶτι τῶν Ἀδελφῶν Ἄρτος, καὶ ποτήριον ὕδατος καὶ κράματος. Οἱ δὲ καλούμενοι παρ' ἡμῖν Διάκονοι, διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ Εὐχαριστηθέντος Ἄρτου, καὶ οἴνου, καὶ ὕδατος: καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ' ἡμῖν εὐχαριστία. Ἀλλ' ἡ ἀπερίσκεπτος ἁπλότης ὕστερον, θρασύτητά τινα προηνέγκατο ἀπονοίας· περὶ οὗ ποτνιᾶται ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Ἰννοκέντιον Ἐπιστολῇ· ὅπερ ἐν καὶ αἰτία ἐγένετο, τοῦ παρέχειν τὴν Ἁγίαν Εὐχαριστίαν συνάμα πᾶσιν ἀγειρομένοις διὰ τῆς λαβίδος. Ἔτι γὰρ δὴ τότε Πατριαρχεύοντος ἐν Κωνσταντινουπόλει, γυνή τις τῶν ἐπισήμων λαβοῦσα ἐπ' Ἐκκλησίας μερίδα τοῦ παναχράντου Σώματος τοῦ Χριστοῦ, καὶ ἐπ' οἴκου ἀπενεγκαμένη, Φαρμάκῳ τινὶ συνανέμιξεν ἐπὶ γοητείας κατασκευῇ τε καὶ χρήσει· οὗ δὴ Φωραθέντος, ἁπάσαις ἑξῆς ταῖς Ἐκκλησίαις ὁ Θεσπέσιος Πατὴρ ἐνετείλατο, τοῦ μηκέτι τὸ ἀπ' ἐκείνου, τὴν τοῦ Σώματος τοῦ Κυριακοῦ μερίδα ἐν χερσὶ τῶν προσερχομένων παρατίθεσθαι, ἀλλ' ἐν δοίδυκι, ἤτοι κοχλιαρίῳ, ὅιαπερ ἡ καλουμένη λαβὶς, συνάμα τῷ ὑπὸ τῷ εἴδει τοῦ ὄινου αἵματι εἰς τὸ στόμα ἐμβάλλεσθαι τοῦ μεταλαμβάνοντος. (Ὅρα Νικηφ: Κάλλις: Βιβλ: ΙΓ. τῆς Ἱστο: Κεφαλ: Ζ.)

§. 235.

Ὁ Χορὸς ᾄδει: Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου: Ἐπισημαίνων τὴν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπιδημίαν τε καὶ προσέγγισιν τοῖς πιστεύουσιν.

§. 236.

Ἐν τῇ Ἐκκλησίᾳ πάλαι, τῶν πιστῶν οἱ μετασχόντες τῶν ἀχράντων Μυστηρίων, τὸν ΛΓ΄. εἰώθεσαν προσεπᾴδειν ψαλμὸν: Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου: κτ: Ἀλλ᾽ ἐπειδὴ γὰρ οἱ πιστοὶ τῆς ἐνδελεχοῦς ἐπαύσαντο Μεταλήψεως, μετετέθη καὶ ὁ ψαλμὸς εἰς τὸ ἀναγινώσκεσθαι κατὰ τὴν τῆς εὐλογηθείσης Ἀρτοκλασίας διανομήν.

§. 237.

Ὁ Ἱερεὺς εὐλογεῖ τὸν Λαὸν ἐπιλέγων ἐκφώνως: Σῶσον ὁ Θεὸς τὸν Λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· Ὁ δὲ Χορὸς ᾄδει τὸ μετὰ τὴν Μετάληψιν ἁρμοζόντως ἔχον ἐπᾴδεσθαι Ἆσμα: Εἴδομεν τὸ φῶς τὸ ἀληθινὸν, κτ: ὑπαινισσόμενος, ὡς οἱ τῶν Μυστηρίων μετειληχότες, τῆς τοῦ Ἁγίου Πνεύματος ἀπολαῦσαι κατηξιώθησαν Χάριτος· διὸ καὶ τὴν εὐχαριστίαν τῷ ἑνιαίῳ τε καὶ Τριαδικῷ Θεῷ ἀναπέμπουσιν.

§. 238.

Τελευταῖον ὁ Ἱερεὺς λαβὼν τὸν Ἅγιον Δίσκον, τίθησιν ἐπὶ τῆς κεφαλῆς τȣ̃ Διακόνȣ. Καὶ ὁ Διάκονος μετὰ εὐλαβείας αὐτὸν δεξάμενος, θεωρεῖ ἔξω πρὸς τὴν θύραν, ȣ̓δέν τι λέγων· καὶ ἀπελθὼν ἀποτίθησιν αὐτὸν ἐπὶ τῆς Προθέσεως.

Ὁ δὲ Ἱερεὺς ὑποτυποῖ τὸν Σωτῆρα ἡμῶν, τὴν τȣ̃ κόσμȣ ἐξαγορὰν ἐκπεπληρωκότα, καὶ τοῖς ἐκλεκτοῖς αὐτȣ̃ τὸν Ἁγιασμὸν προμνηστευσάμενον, καί γε ἐπαγγειλάμενον καὶ μεθ᾽ ἡμῶν μενεῖν ἕως τῆς συντελείας τȣ̃ αἰῶνος: τίθησι δὲ ἐπὶ τῆς τȣ̃ Διακόνȣ κεφαλῆς τὸν Δίσκον, ὅτι τῷ Διακόνῳ καθήκει αὐτόν τε δὴ, καὶ τὰ λοιπὰ τῶν Ἱερῶν σκευῶν ἐπὶ τὸ Θυσιαστήριον μεταφέρειν, τὰ πρὸς τὴν τελετȣργίαν συντείνοντα.

§. 239.

Ὁ Ἱερεὺς προσκυνήσας, τό τε Ἅγιον λαβὼν Ποτήριον, καὶ πρὸς τὴν θύραν ἐπιστραφεὶς, πρόςτε τὸ λαὸν βλέπων, λέγει μυστικῶς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· ἐκφώνως δὲ: πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων.

Ἐκπεραίνει τοίνυν ὁ Ἱερεὺς ȣ̃τω τὴν

Λατȣρ-

Λειτυργίαν μετὰ τῆς αὐτῆς ἐυλογίας, μεθ' ἧς καὶ ἤρξατο. Ὁ δὲ Χορὸς ψάλλει: Πληρωθήτω τὸ ςόμα ἡμῶν κτ: τὸν Σωτῆρα καθικετεύων, ὅπως ἡμᾶς ἐν ἁγιωσιώῃ διὰ παντὸς τῦ βίυ διατηρήσειεν. (Ὅρα περὶ τύτυ τὸν ἐν τοῖς Μιωαίοις Σιωαξαριςὶὼ, εἰς τὸν Βίον τῦ Μεγάλυ Βασιλείυ Σελ: 218. ἐν τῇ ἐκδόσει τῇ Ῥωσσιςὶ.)

§. 240.

Τοῦ Διακόνυ διὰ τῆς Βορείυ ἐξελθόντος πύλης, καὶ ἐν τῷ Σιωήθει τόπῳ ςάντος· καὶ εἰπόντος τὸ: Ὀρθοὶ μεταλαβόντες κτ: Ὁ Ἱερεὺς, χερσὶν ὀρθὸν τὸ Εὐαγγέλιον κατέχων ἐπὶ τῦ Ἀντιμιωσίυ ἤδη σιωειλημμένυ, σφραγίζει ςαυροειδῶς δι' αὐτῦ ἐκφωνῶν: Ὅτι Σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ Σοὶ τιὼ δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νιῶ, καὶ ἀεὶ, καὶ εἰς τὺς αἰῶνας τῶν αἰώνων. Ὁ Χορὸς Ἀμιώ.

Ὁ Διάκονος λέγει τιὼ ἐκτενῆ, τιὼ τῇ ἐντεύξει τῶν μεταλαβόντων σιωᾳδυσάντε καὶ πρόσφορον· δι' ἧς αὐτὺς διανίςησιν ἐυχαριςῆσαι Θεῷ ὑπὲρ τῶν Ἁγίων Μυςηρίων, ὧν μετειλήφασιν, ἀναβοῶν: Ὀρθοὶ μεταλαβόντες τῶν Θείων,

Ἁγίων

Ἁγίων, ἀχράντων, ἀθανάτων, καὶ ζωοποιῶν Χριςῦ Μυςηρίων, ἀξίως εὐχαριςήσωμεν τῷ Κυρίῳ κτ:

Πολλαί τε καὶ μεγαλοπρεπεῖς ἐνταῦθα ὑπὸ τῆς Ἐκκλησίας σωεπαθροίζονται ἀπονεμόμεναι τοῖς Μυςηρίοις προσρήσεις, ὡς ἂν διακρίνειν ἔχοιεν οἱ μετειληχότες, οἵων ὑπερφυῶν Δώρων, καὶ ἡλίκης Χάριτος ὑπὸ Θεῦ κατηξίωνται· καὶ ἵνα, ὑπὲρ τῶν τηλικέτων δωρημάτων, ἐν εἰλικρινεςάτῃ ψυχῆς διαθέσει τὴν εὐχαριςίαν προτραπεῖεν ἀποδῦναι τὴν ἀξιόχρεων. Τὰς δὲ εὐχαριςηρίες ταύτας ἐντεύξεις ἡ Ἐκκλησία διέταξεν, ὡς ὁ θεῖος φησὶ Χρυσόςομος (ἐν Ὁμιλ: τῇ εἰς τὰ Ἅγια Θεοφάνια:) κατὰ μίμησιν τῶν Θεοπρεπῶν ὕμνων, οὓς μετὰ τὸν τῦ Σωτῆρος Μυςικὸν Δεῖπνον οἱ Ἀπόςολοι ὕμνησαν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἐξερχόμενοι. (Ματθ: Κεφ: Κϛ´. 30.)

§. 241.

Ὁ Ἱερεὺς λέγει: ἐν Εἰρήνῃ προέλθωμεν, διὰ τῶν ῥημάτων τύτων τὸ σωήθες τῆς Ἱερεργίας τέρμα ὑποσημαίνων.

Ὁ δὲ Χορὸς, πρὸς τὸ εἰρημένον ἀποκρινόμενος: ἐν ὀνόματι τῦ Κυρίε: ἐν οἷς, ὁ

λαὸς ἐμφαίνει, πρὶν ἢ ἐξέλθοι, ὅτι πάντα αὐτὸς διαπραττόμενος ἐςὶν ἐπὶ τῷ θείῳ ὀνόματι.

Ὁ Διάκονος δὲ: τȣ̃ Κυρίȣ δεηθῶμεν: ὑποδηλῶν τῷ Ἱερεῖ, καιρὸν ἐφεςᾶναι τȣ̃ εὔξαϑαι: Καὶ ὁ Ἱερεὺς ἐπὶ τȣ́τοις:

§. 242.

„Ὁ εὐλογῶν τȣ̀ς εὐλογȣ̃ντας Σε „Κύριε, καὶ ἁγιάζων τȣ́ς ἐπὶ Σοὶ πε„ποιθότας, σῶσον τὸν Λαόν Σȣ, καὶ εὐ„λόγησον τὴν κληρονομίαν Σȣ. Τὸ πλή„ρωμα τῆς Ἐκκλησίας Σȣ φύλαξον· Ἁ„γίασον τȣ̀ς ἀγαπῶντας τὴν εὐπρέπειαν „τȣ̃ οἴκȣ Σȣ. Σὺ αὐτȣ̀ς ἀντιδόξασον τῇ „θεϊκῇ Σȣ δυνάμει, καὶ μὴ ἐγκαταλίποις „ἡμᾶς τȣ̀ς ἐλπίζοντας ἐπὶ Σέ. Εἰρήνην „τῷ κόσμῳ Σȣ δώρησαι. κτ:

Ὑπεμφαίνει δὲ διὰ τȣ́των, ὡς ἡ Ἐκκλησία, τοῖς ὑπὸ τῶν πιςῶν προσαγομένοις ἐςὶ προσέχȣσα καὶ Θεὸν ἐκδυσωπεῖ, ὑπέρ τε τῆς τȣ̃ Βασιλέως, καὶ τῆς παντὸς τȣ̃ κόσμȣ περιφρȣρήσεως.

§. 243.

Ἀπελθὼν δὲ μετὰ τȣ̃το ἐπὶ τῆς Προθέσεως ὁ Ἱερεὺς, λέγει τὴν παρȣ̃σαν

„Εὐχὴν.

Εὐχὴ. „Τὸ πλήρωμα τοῦ Νόμου, καὶ τῶν „Προφητῶν αὐτὸς ὑπάρχων Χριστὲ ὁ „Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν τὴν „Πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς „καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, πάν-„τοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν „αἰώνων. Ἀμήν.

Ἀνακηρύττει δ' ἐν τούτοις: ὅτι ὁ τοῦ κόσμου Σωτὴρ τὴν σωτηρίαν ἡμῖν πραγ-ματευσάμενος, πρὸς τὴν πανευφρόσυνον ἡμᾶς καὶ τρισσευδαίμονα μακαριότητα προσηγάγετο.

§. 244.

Ὁ δὲ Χορὸς ᾄδει: Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Καὶ ἀναγινώσκεται ὁ ψαλμὸς ὁ ΛΓ.

Δι' οὗ εὐχαριστία τῷ Σωτῆρι ἀνα-πέμπεται, τῷ τὴν ὑπεράγαθον αὐτοῦ πρόνοιαν περὶ τὴν Ἐκκλησίαν αὐτοῦ πα-ρατείνοντι, καὶ τοῖς τῶν Μυστηρίων δὲ μεταχῶν καταξιωθεῖσι παραίνεσίς τις Διδασκαλίας προβάλλεται. (Καν: Ἀποστ: Βιβλ: Η. Κεφ: ΙΓ.)

Ἐξελθὼν δ' ἐν τούτῳ ὁ Ἱερεὺς τοῦ ψαλμοῦ ἀναγινωσκομένου, διανέμει τῷ Λαῷ τὸ Ἀντίδωρον.

§. 245.

Ἐκπεραίνεται δ᾽ ἡ Λειτουργία δι᾽ Εὐλογίας, καὶ Δοξολογίας. Διὸ τοῦ ψαλμοῦ ἀναγνωσθέντος, καὶ τοῦ Ἀντιδώρου διανεμηθέντος, πρόεισιν ὁ Ἱερεὺς λέγων: Εὐλογία Κυρίου ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ χάριτι καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων: Δόξα Σοι Χριστὲ ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν, δόξα Σοι. Καὶ ποιεῖται ὁ Ἱερεὺς τὴν συνήθη Ἀπόλυσιν.

§. 246.

Ὁ δὲ Χορὸς, ὡς ἐκ προσώπου τοῦ Λαοῦ παντὸς ψάλλει: Πολλὰ τὰ ἔτη: Θεὸν ἐκδυσωπῶν τὴν ὑγίειαν περιφρουρεῖν τῷ τε Βασιλεύοντι δι᾽ ἐτῶν παμπόλλων, καὶ σύμπαντι τῷ τῶν Ὀρθοδόξων πληρώματι.

Καὶ εἰσελθὼν ὁ Ἱερεὺς ἐν τῷ Ἁγίῳ Βήματι, πᾶσαν τὴν Ἱερὰν στολὴν ἀποδύεται, λέγων: Νῦν ἀπολύεις τὸν δοῦλον Σου, κτ:

Ὁ δὲ μεταχὼν τῆς παναγεστάτης Εὐχαριστίας, ἐν ᾧ τόδε ὑπαναγινώσκεται τὸ Ἆσμα, τοιαῦτα τινὰ περὶ αὐτὸ διανοεῖσθαι ὀφείλει:

Σὺ Κύριε προεπηγγείλω, καὶ τῷ Συμεὼν ἐπιφανεὶς τῷ Σε χερσὶ ταῖς

ἰδίαις

ἰδίαις βασάσαντι, καὶ τῆς αἰωνίε μακαριότητος ἐπιτυχεῖν ἐπελπίσαντι. Καὶ αὐτὸς ἐγὼ τοίνυ, ὁ Σὲ ἐν κόλποις τῆς ἐμῆς ψυχῆς καὶ καρδίας ὑποδεξάμενος, καὶ εἰλικρινέσατα Σοὶ τῷ Θεῷ με συνενωθεὶς, ἐκ ἀπογινώσκω τῆς ἐμῆς σωτηρίας· τὸ γὰρ Σωτήριον κατεῖδον οἱ ὀφθαλμοίμε τὸ Σὸν, ὅ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. Τὸ Φῶς δηλονότι, τὸ εἰς Ἀποκάλυψιν ἀναλάμψαν πᾶσι τοῖς ἔθνεσι, καὶ διαφερόντως τῷ Ἰσραὴλ, τῷ εἰς Σὲ πιςεύοντι.

---

# ΚΕΦΑ´ΛΑΙΟΝ Δ´.

## ΠΕΡΙ` ΤΗ῀Σ ΛΕΙΤΟΥΡΓΙ´ΑΣ

## τῶν Προηγιασμένων.

§. 247.

Ἀπὸ χρόνων ἤδη ἀρχαίων ἐν τῇ Ἐκκλησίᾳ τεθέσπισο, τὴν τῶν Προηγιασμένων Λειτεργίαν πρὸς Ἑσπέραν τελεῖσθαι. Διὸ δὴ πρὸ ταύτης, πρὸς τῇ Τρίτῃ τῶν ὡρῶν. καὶ τῇ ἕκτῃ, καὶ ἡ ὥρα ἡ ἐννάτη προσαναγινώσκεται.

Γράφει

Γράφει δὲ Σωκράτης (ἐν Βιβλ: Ε΄. Κεφ: ΚΒ΄. "Οτι ἐν Ἀλεξανδρείᾳ, τῇ Τετράδι, ϗ τῇ λεγομένῃ Παρασκευῇ, Γραφαί τε ἀναγινώσκονται Ἱεραὶ, ϗ οἱ Διδάσκαλοι αὐτὰς ἑρμηνεύουσι. Πάντα τε τὰ τῆς Συνάξεως γίνεται, δίχα τῆς τῶν Μυστηρίων τελετῆς. Ἦν δὲ τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ τὸ ἔθος τόδε ἀρχαιότατον. Δῆλον γὰρ ὅτι ϗ Ὠριγένης, ὁ τῆς τρίτης ἤδη ἐναρχομένης Ἑκατονταετηρίδος ἀκμάζων, ἐν ταύταις μάλιστα ταῖς ἡμέραις ἐπ᾽ Ἐκκλησίας διδάσκων τὰς Ἱερὰς Γραφὰς ἐξετίθετο.

Ἀπὸ μὲν τῆς τοῦ Μεγάλου Βασιλείου Λειτουργίας, ἐκ Κώδικος παλαιτάτου Ἑλληνιστὶ ϗ Ἀραβιστὶ Ἀπογράφου, ἀπέσπασα τοιάδε·

Εὐχὴ ἑτέρα παρ᾽ Αἰγυπτίοις, ἐκ τῆς τῶν Προηγιασμένων Λειτουργίας τοῦ θείου Ἀποστόλου Μάρκου, μετὰ τὴν τῶν Ἁγίων Μυστηρίων Μετάληψιν.

„Τετελείωται τὰ τῆς Σῆς εὐεργεσίας δῶρα·
„τὰ φρικτὰ δηλαδὴ, ϗ ἄνωθεν εὐλο-
„γηθέντα Μυστήρια τοῦ Μονογενοῦς Σοῦ
„Υἱοῦ, τοῦ Κυρίου, ϗ Θεοῦ, ϗ Σωτῆρος
„ἡμῶν Ἰησοῦ Χριστοῦ· ϗ τὰ Σωτηριώδη
„αὐτοῦ παθήματα ἡμῖν ὡμολόγηται· κτ:

Ἐν αὐτῷ δ᾽ ἐκείνῳ τῷ Ἀρχαίῳ Κώδικι, ϗ ἡ τοῦ Θείου Γρηγορίου τοῦ Θεολόγου Λειτουργία ἐμφέρεται· ἐξ οὗ σαφὲς

φὲς καθίςαται: α) ὅτι ἡ Λειτȣργία τῶν Προηγιασμένων ἐπὶ τῶν χρόνων τȣ̃ Εὐαγγελιςοῦ Μάρκȣ τετύπωτο. β) ὅτι παρ' Αἰγυπτίοις ἡ τῷ Ἁγίῳ Γρηγορίῳ ἐπιγραφομένη Λειτȣργία ἐν χρήσει ὑπῆρχε· γ) Ὅτι πάλαι ἐπὶ τῆς Ἀλεξανδρέων Ἐκκλησίας, ἐν τῇ Λειτȣργίᾳ, τȣ̃ Μεγάλȣ Βασιλείου, τῆς τȣ̃ πανευφήμȣ Ἀποςόλȣ Μάρκȣ Λειτȣργίας τῶν Προηγιασμένων μνεία γίνεται.

Ἡ ἐν Λαοδικείᾳ Σύνοδος Καν: ΜΘ. (καὶ ΝΑ.) διορίζεται, ὅτι ȣ̓ δεῖ τῇ Τεσσαρακοςῇ Ἄρτον προσφέρειν, εἰμὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ μόνον. Ὁ δ' ὅρος ȣ̃τος ȣ̓δέποτε ἀθετεῖται· κατέχεται δὲ, καὶ διατηρεῖται, πλὼ Σαββάτȣ, καὶ Κυριακῆς, καὶ τῆς Ἑορτῆς τȣ̃ Εὐαγγελισμȣ̃. Ἐν γάρ ταῖς λοιπαῖς τῆς Τεσσαρακονθημέρȣ μεγάλης νηςείας ἡμέραις, προσφοραὶ ȣ̓ προσάγονται, τελεῖται δὲ Λειτȣργία ἡ τῶν Προηγιασμένων· τȣτέςιν: ἡ Λειτȣργία ἡ τῆς Νηςείας· ἀλλ' ἐν τῇ τȣ̃ Εὐαγγελισμȣ̃ Ἑορτασίμῳ ἡμέρᾳ, ἡ τȣ̃ Χρυσοςόμȣ Λειτȣργία ἐκτελεςέα.

Ἐν τῷ ΙΔ΄. Καιόνι τῆς αὐτῆς Συνόδȣ ὥρισαι, περὶ τȣ̃ μὴ τὰ Ἅγια (εἰς λόγον Εὐλογιῶν . . . ) εἰς ἑτέρας Παροικίας διαπέμπεσθαι. Ὡς ἔτις τῶν θείων Μυςηρίων, τȣτέςι

τέξι τῦ ἀχράντυ Σώματος καὶ τῦ παναγεςάτυ Αἵματος τῦ Κυρίυ ἡμῶν Ἰησοῦ Χριςῦ μεταλαβεῖν ἐθελήσειεν, εἰς τὸν Ναὸν ἀπερχέσθω, καὶ ὑπὸ τῦ Ἱερυργῦντος Ἐπισκόπυ τῆς κοινωνίας ἀπολαυέτω, ὡς ὁ Μέγας Βασίλειος ἐντέλλεται· Τὸ δὲ τὰ Ἅγια διαπέμπειν εἰς Παροικίαν ἑτέραν, πόλιν, ἢ κώμην, εἰς ἐυλογίαν τινὸς, ἐςὶν ἀθέμιτον.

Ὑπεμφαίνει δ᾽ ὁ Κανὼν ἅτος, ὅτι ἄρα ὑπῆρχεν ὅπυ τὰ Ἅγια Μυςήρια εἰς κατοικήσεις τῶν κατὰ μέρος διεπέμπετο· ἔνθεντοι πρὸς ἀναίρεσιν τῆς τῦ ὑπερφυῦς τύτυ Μυςηρίυ κατολιγωρήσεως, τεθέσπισαι: καθ᾽ ἃς ἡμέρας ὐχ ἱερυργεῖται, τὰ Προηγιασμένα δῶρα μεταδίδοσθαι. Καὶ τῶν Οἰκυμενικῶν δὲ ἡ Ἕκτη Σιώοδος (ἐν Καν: ΝΒ΄.) τοῖς ἐν Λαοδικέια Ὅροις διεθεσπίσατο σύμφωνα: δι ὅλης δὴ τῆς Τεσσαρακονθημέρυ (ἐξαιρυμένων Σαββάτυ τε καὶ Κυριακῆς, καὶ τῆς τῦ Ἑυαγγελισμῦ ἑορτῆς, τὴν) τῶν Προηγιασμένων τελετὴν γίνεσθαι.

Καὶ ὁ Ἱερὸς δὲ Συμεὼν ὁ Θεσσαλονίκης (Ἐρωτ: ΝΕ΄.) Γαβριὴλ, ἀπαντῶν τῷ Πενταπόλεως Μητροπολίτῃ, φησὶν ὅτι ἡ τῶν Προηγιασμένων τελετὴ ἀνέκαθεν ὑπὸ τῶν Ἀποςολικῶν διετέτακτο Ἀνδρῶν, ὡς

καὶ αἱ ἐν αὐτῇ Ἐυχαὶ μαρτυρȣ̃σι· τὴν δὲ δὴ παράδοσιν ταύτην ἀρχαιοτάτην τε, καὶ τῷ ὄντι Ἀποςολικὴν εἶναι (λέγει) πιςέυομεν, ἐξαιρέτως ἐπὶ ταῖς τῆς Νηςείας ἡμέραις διαταχθεῖσαν. Ἐν ταύταις γὰρ, ἅτε ὀλοφυρμῶν τε καὶ θρήνων ἡμέραις, ἐπιδακρυτέον, ȣ̓χ ἑορταςέον: καθὰ καὶ ἄλλοι περὶ τȣ́των εἰρήκασιν. Ἵνα γοῦν μὴ τῆς τε χάριτος, τῆς ἐκ τῶν τȣ̃ Χριςȣ̃ Μυςηρίων προερχομένης, καὶ τῆς διὰ τῶν Ἱερῶν ἐντέυξεων ἐκδυσωπήσεως καὶ ἐξιλεώσεως δι᾽ ὅλȣ ἀποςεροίμεθα, διὰ τȣ̃το οἱ θεῖοι διέταξαν Πατέρες, μετὰ ὥραν τὴν ἐννάτην ἐκτελεῖσθαι τὴν Ἁγιαςείαν ταύτην, ὡς ἂν ὁ τῆς νηςείας ὅρος διατηροῖτο, καθ᾽ ὃν, ἅπαξ τῆς ἡμέρας διετάχθη τροφὴν προσφέρεσθαι.

Τὴν οὖν ἀρχαίαν τῆς Λειτȣργίας ταύτης Διάταξιν, καὶ οἱ Κανόνες προσεμπεδȣ̃σιν οἱ Ἀποςολικοὶ, οἱ ὑπὸ Κλήμεντος Συγγραφέντες: ἐν οἷς Ἰάκωβος ὁ θεῖος Ἀπόςολος (Βιβλ: Η'. Κεφ: ΛΕ. καὶ Λς.) ταῦτα διατυποῖ: τῆς Ἑσπέρας ἐνςάσης, ἄθροισον, ὦ Ἐπίσκοπε, τὴν Ἐκκλησίαν· Ἀναγνωσθέντος δὲ τȣ̃ Λυχνικȣ̃ ψαλμȣ̃, ὁ Διάκονος τὴν ὑπὲρ τῶν Κατηχȣμένων, καὶ τῶν χειμαζομένων, καὶ τῶν ἐν μετανοίᾳ ὄντων προβάλλεται δέησιν. Τȣ́-

των δ' ἀπολυθέντων, πρόεισι λέγων: οἱ Πιςοὶ τȣ͂ Κυρίȣ δεηθῶμεν: ἔπειτα: Ἀντιλαβȣ͂ καὶ σῶσον ἡμᾶς διὰ τȣ͂ Χριςȣ͂ Σȣ. Αἰτȣ́μεθα δὲ τὸ παρὰ τȣ͂ Θεȣ͂ ἔλεος. Ἄγγελον εἰρήνης· τὰ καλὰ καὶ συμφέροντα· Χριςιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν· τὴν προσιȣ͂σαν ἑσπέραν, καὶ τὴν ἐπιȣ͂σαν νύκτα, εἰρηνικὴν καὶ ἀναμάρτητον· τὸν ὑπόλοιπον τῆς ζωῆς χρόνον ἐν εἰρήνῃ καὶ μετανοίᾳ διαγαγεῖν· καὶ ὅτω τέως ἑαυτȣ̀ς καὶ ἀλλήλȣς Χριςῷ τῷ Θεῷ παρατιθέμεθα.

Ὀυδὲν ἦν τῶν ἐν τῇ Ἐκκλησίᾳ ᾄδεσθαι εἰωθότων τὸ πάλαι, ȣ͂ μὴ θέμις ὑπῆρχε τοῖς Κατηχȣμένοις ἀκροᾶσθαι· πλὴν εἰ ἐξέλοις τὰ περὶ τὴν τῶν Φρικτῶν Μυςηρίων κοινωνίαν τε καὶ μετάληψιν. Τοιγαρȣ͂ν ἥτε τȣ͂ Λυχνικȣ͂ ψαλμȣ͂ Ἀνάγνωσις, (§. 45.) καὶ αἱ ὑπὲρ τῶν Κατηχȣμένων Ἑσπεριναὶ Ἐυχαί τε καὶ Ἱκεσίαι· καὶ ἡ μετ' αὐτὰς τȣ́των ἀπὸ τῆς Ἐκκλησίας ἐκχώρησις, (§. 86.) τὴν ἐν ταῖς Προηγιασμέναις τοῖς πιςοῖς γινομένην, κοινωνίαν ἀποδεικνύȣσιν.

Ταύτην τὴν τῶν Προηγιασμένων Λειτȣργίαν, εἰσὶν οἳ τῷ Πάπᾳ ἐπιγράφȣσι Γρηγορίῳ τῷ Διαλόγῳ, τῷ περὶ τὸ τέλος τῆς Ἕκτης ἀπὸ Χριςȣ͂ ἑκατονταετηρίδος ἀκμάζοντι: διὰ δὴ τȣ͂το, ἢ δοκεῖ, ὅτι ἔςιν ἃ ȣ͂τος, ἐν τῇ κατ' αὐτὴν διατυπώσει ἠμείψατο.

Ἀλλὰ

Ἀλλὰ γὰρ Σημειωτέον: 1) τὸ ὑπ' αὐτοῦ τούτου τοῦ Γρηγορίου, πρὸς Εὐσέβιον τὸν Θεσσαλονίκης (Ἐπιστολῇ ΞΘ. Βιβλ: Θ'.) γεγραμμένον: Ἡμεῖς οὔτε Ἑλληνιστὶ ἴσμεν, οὔτε τι πόνημα Ἑλληνιστὶ ποτὲ συνεγράψαμεν. Οὐδ' ἔστι φάναι, ὡς ὁ μὲν Λατινιστὶ ἐξέθετο, ἄλλος δέ τις ἔπειτα ὑπῆρξεν ὁ τὴν Λειτουργίαν τῇ φράσει ἐξελληνίσας· παρὰ γὰρ τὸ εἰκῇ καὶ προῖκα, καὶ οὐδενὶ σὺν λόγῳ τοῦτ' ἂν εἰρῆσθαι· Σημειωτέον ἔτι·

2) Ὅτι Γρηγόριος, μαθὼν τινὰς περὶ αὐτοῦ ὑποψιθυρίζοντας, ὡς ἄρα τοῖς ἐθίμοις τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας παρακολουθοῦντος· Ἡμεῖς (ἔφη Βιβλ: Β'. τῆς Βιογραφ:) ἐν οὐδενὶ τούτων ἑτέρᾳ τινὶ Ἐκκλησίᾳ παρηκολουθηκότες ἐσμέν. Εἰ τοίνυν αὐτοῦ τοῦτο ἦν ἔργον τὸ τῆς Λειτουργίας τῶν Προηγιασμένων ἐξελληνισθέν, εἶχεν ἂν ἐκ τοῦ ἐναντίου τοὺς ψιθυριστὰς ἀπελέγξαι, ἀπαντήσας ἑτέρους μᾶλλον αὐτῷ παρηκολουθηκότας γενέσθαι, ἢ αὐτὸν ἑτέροις.

3) Ἀλλάτιος δὲ διϊσχυριζόμενος φέρεται (ἐν τῇ αὐτοῦ Διαλέξει περὶ τῆς τῶν Προηγ:) μηδέποτε δὴ τὴν τοιάνδε Λειτουργίαν ἐν χρήσει τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης γενέσθαι.

4) Ἐπὶ τῶν, ἐκ τῶν Ἀλεξανδρινῶν Χειρογράφων Κωδίκων, ἀπογραφεισῶν Λειτȣργιῶν, καὶ κατὰ τὸ 1716. Ἔτος ἐν Παρισίοις ἐκδοθεισῶν: ἐν τῇ τȣ̃ Μεγ: Βασιλείȣ Λειτȣργίᾳ, Σελ: 79. μετὰ τὴν Εὐχὴν τῆς ὑποκλίσεως τῆς κεφαλῆς: Δέσποτα Κύριε ὁ Πατὴρ τῶν οἰκτιρμῶν. κτ: ἀπαντᾷ ἡ Ἐπιγραφή:

Εὐχὴ ἑτέρα παρ' Αἰγυπτίοις ἐκ τῆς των Προηγιασμένων Λειτȣργίας Μάρκȣ τȣ̃ Ἀποςόλȣ: μετὰ τὴν Μετάληψιν τῶν Ἁγίων Μυςηρίων:

Τετελείωται τὰ τῆς Σῆς Εὐεργεσίας δῶρα κτ: Καὶ ἐν Σελίδι δὲ 86. κεῖται μετὰ τὴν ἐν ὑποκλίσει νεῦσιν τῆς κεφαλῆς: Εὐχὴ ἡ ἀναγινωσκομένη κατὰ τὰς ἡμέρας τῆς Τεσσαρακονθημέρȣ Ἁγίας Νηςείας: Δέσποτα Κύριε Παντοκράτορ, ὁ ἐν Σοφίᾳ τὰ πάντα δημιȣργήσας κτ:

Ἕπεται δὲ καὶ ἡ Ἀλεξανδρινὴ παλαιὰ Λειτȣργία τȣ̃ ἐν Ἁγίοις Γρηγορίȣ: ὃς, καὶ ȣ̃τος τυχὸν ἐςὶν, ὁ τὴν τῶν Προηγιασμένων Λειτȣργίαν προαγαγὼν, καὶ τῷ ὀνόματι αὐτȣ̃ παραχὼν ὀνομάζεσθαι.

Ἀλλὰ γὰρ ὅπως ποτ' ἂν καὶ ἔχοι τὸ περὶ τȣ́τȣ, ἐκεῖνο δὴ ἐκ τῶν εἰς τόδε

εἰρημέ-

εἰρημένων ἐκτὸς πάσης ἀμφιβολίας ἐςὶν, ὅτι ἡ περὶ ἧς ὁ Λόγος Λειτȣργία, καὶ ἡ αὐτῆς ἐν τῇ τȣ̃ Χριςȣ̃ Ἐκκλησίᾳ παράδοσις τε καὶ χρῆσις, πολὺ τῶν χρόνων τȣ̃ Πάπα Ῥώμης Γρηγορίȣ τȣ̃ Διαλόγȣ ἐςὶν ἐπέκεινα. Μαρτυρεῖ δὲ τȣ̃το παρὰ Λατίνοις καὶ Ἰωσὴφ ὁ Ἀσσεμάνος ἐν τῷ Λειτȣργικῷ αὐτȣ̃ Κώδικι, (Βιβλ: Η΄. Μέρ: Δ΄., ἐν Σημειώσει τῶν αὐτȣ̃ 12. Σελ: 298:) τοιαῦτα γράφων: Τὸ Γραικῶν ἔθος, (ἤτοι ὁ τύπος) τȣ̃ ἐν ταῖς τῆς τεσσαρακονθημέρȣ Νηςείας ἡμέραις μηδαμῶς ἱερȣργεῖν, ἐςὶν ἀρχαιότατον. Τό δ' ἔθος (φησὶν) ἐπιμαρτυρεῖ καὶ ἡ ἐν Τρȣ́λλῳ Σύνοδος (ἐν Κεφ: ΝΒ:) . . . ȣ̓ μόνον δὲ, ἀλλὰ καὶ ἡ πρὸ τῆς ἐν Τρȣ́λλῳ, ἔτεσι μονονȣχὶ τετρακοσίοις συςᾶσα Σύνοδος ἐν Λαοδικείᾳ (ἐν Κεφαλ: ΜΘ. καὶ ΝΑ.) Ἐφ' οἷς αὐτὸς προςίθησιν, ὅτι καὶ ἡ Λατίνων Ἐκκλησία ταὐτὸν ὑπῆρχε παρατηρȣ̃σα, ἐν ταῖς δυσὶν ἐχάταις ἡμέραις τῆς Τεσσαρακοςῆς· ὡς ἐςὶ μάρτυς Ἰννοκέντιος Α΄: ὁ Πάπας) ἐν Ἐπις: Α΄. Κεφ: Δ.) Καὶ ἔςγε δὴ καὶ καθ' ἡμᾶς ἔτι παρατηρεῖ, ἐν τῇ παραληγȣ́σῃ ἡμέρᾳ τῆς Τεσσαρακοςῆς· (ἥτις ἐςὶν ἡ Μεγάλη Παρασκευὴ:) Ἐπὶ πᾶσι δὲ, καὶ τὰ Εὐχολόγια (φησὶ) πάντα ὅσα ἐκδέδοται, τὴν τῶν Προηγιασμένων ἡμῖν Λειτȣργίαν παρίςησι καὶ τὴν Λατινικὴν δὲ, ἡ τῶν Πατέρων Βιβλιοθήκη.

§. 248.

§. 248.

Ἡ δὲ Λειτουργία αὕτη, ἐκ τῶν διατεταγμένων Ἑσπερινῶν δεήσεων ἄρχεται, ἐν αἷς προφέρονται αἱ κοιναὶ Ἐκτενεῖς· (Ὅρα §. 47.) Ἔπειτα δὲ ἡ εἰς τὸ Θυσιαστήριον Εἴσοδος γίνεται· (Ὅρα §. 55. 56. 57. 58.) καὶ ἀναγινώσκονται περικοπαὶ ἔκ τε τῶν ἄλλων τῆς Ἱερᾶς Γραφῆς Βιβλίων, καὶ ἀπὸ τῶν Παροιμιῶν. (Ὅρα Παροιμίαι.)

§. 249.

Κατευθυνθήτω ἡ προσευχή μου· Οἱ ψαλμικοὶ οὗτοι στίχοι ᾄδονται, οἱονεῖτι προκείμενον μέγα, τήν τε μετάνοιαν ὑπεμφαῖνον, καὶ τὴν τῆς ψυχῆς ζέσιν, καὶ τὰς ἱκεσίας προβαλλόμενον τῶν παρασκευαζομένων ἐπὶ τῇ τῶν Ἁγίων Μυστηρίων Μεταλήψει, ἢ τὸ πρώτως ἐστὶ τηνικαῦτα σκοπούμενον. Ὁ μὲν οὖν Χρυσόστομος, τὸν ΡΜ. διερμηνεύων ψαλμὸν, φησί· τὸν ψαλμὸν τοῦτον καθ' ἑκάστην Ἑσπέραν οἱ Πατέρες διετύπωσαν λέγεσθαι, οὐ διὰ τὴν μίαν λέξιν, τὴν λέγουσαν· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή· ἐπεὶ καὶ ἄλλοι ψαλμοὶ ταύτην ἔχουσι τὴν λέξιν. . . . Ἀλλ' ὥς τι φάρμακον σωτήριον, καὶ ἁμαρτημάτων καθάρσιον ἐνομοθέτησαν λέγεσθαι. (Ὅρα Προκείμενον·)

§. 250.

Ἀναγινώσκεται διττὴ ἡ Ἐκτενὴς κατὰ τὴν συνήθη τῆς Ἐκκλησίας Διάταξιν. (Ὅρα Ἐκτενῆ, καὶ Λιτὴν.)

Τῆς ὑπὲρ τῶν Κατηχουμένων Ἐκτενοῦς πληρωθείσης, καὶ Ἐκτενὴς ἑτέρα ἀναγινώσκεται, ἡ ὑπὲρ τῶν ἐπὶ τὸ Φώτισμα, τῶν πρὸς τὸ Ἅγιον Βάπτισμα εὐτρεπιζομένων· τοῦτο δὲ γίνεται ἀπὸ τῆς Μεσονησίμου Ἑβδομάδος, διὰ τοὺς τὴν εἰς Χριστὸν πίστιν ἀσπασαμένους· ὧν μετὰ τὴν ἐπίγνωσιν τῆς Εὐαγγελικῆς ἀληθείας, νηστείαις τε καὶ δεήσεσιν εὖ παρασκευασθέντων, ὁ βαπτισμὸς ἀνεβάλλετο ἐπὶ τοῦ Μεγάλου Σαββάτου. Ἀνεγινώσκετο γὰρ Ἐκτενὴς ἔτι καὶ ὑπὲρ τούτων· ἀπεκλείοντο δὲ τέως καὶ οὗτοι, τῶν ὑπὲρ τῶν πιστῶν ἤδη Εὐχῶν ἀρχομένων, οἳ μόνοι ὑπελείποντο, ἕτοιμοι ὄντες πρὸς τὴν μετάληψιν τῆς Εὐχαριστίας. (Ὅρα §. 186. Μέτιθι δὲ καὶ Ἰουστῖν: τὸν Μάρτυρα ἐν Απολογ: Β΄. Καὶ τὸν θεῖον Ναζιανζ: Λόγ: Μ΄. περὶ τοῦ Βαπτίσμ:, Καὶ Τερτυλλ: ἐν τοῖς περὶ τοῦ Βαπτίσμ: Κεφ: ΙΘ. καὶ Κ΄.)

§. 251.

Ἐπὶ μὲν τῆς συνήθους Λειτουργίας, ὁ Χερουβικὸς

ρυβικὸς ᾄδεται ὕμνος, ὁ πρὸς τὸν Ἁγιασμὸν τῶν Δώρων οἷον προπαρασκευαστικός· ἐπὶ δὲ τῆς τῶν Προηγιασμένων ταύτης, ᾄδεται τό: Νῦν αἱ Δυνάμεις τῶν Οὐρανῶν. Διὰ γὰρ δὴ τούτου δηλοῦται, ὅτι τὰ Δῶρα τὰ νῦν προαγιασθῆναι φθάσαντα, ἤδη μετακομίζεται· καὶ ὅτι αἱ στρατιαὶ αἱ Οὐράνιοι τῷ Βασιλεῖ τῆς δόξης τὴν Λατρείαν προσᾴδουσι. Διὸ καὶ ἡμᾶς αὐτοὺς μάλιστα ἐν τούτῳ, ὡς ἄριστα διακειμένους εἶναι προσήκει.

Ἥγεμὴν ἐπὶ τῆς τοῦ Χρυσοστόμου Λειτουργίας διατεταγμένη γίνεσθαι Ἐκτενής, καὶ αἱ μετὰ τὸ Χερουβικὸν ᾆσμα Εὐχαὶ ὧδε παραλιμπάνονται, ὡς ἐπὶ τὰ πρὸς τὸ Ἁγιασθῆναι προτιθέμενα Δῶρα ἐκεῖναι τείνουσαι. Ἀναγινώσκεται δὲ μόνα, ὅσα εἰς τὴν προπαρασκευὴν φέρει τὴν πρὸς τὴν Μετάληψιν. Ἡ δέ τοι Μετάληψις ὁμοίως κἀνταῦθα, ὥσπερ ἐπὶ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου γίνεται.

§. 252.

Μετὰ τὴν ἐκφώνησιν: Μετὰ φόβου Θεοῦ, καὶ Πίστεως προσέλθετε: Ὁ Χορὸς ψάλλει: Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ. κτ:

Ἐν

Ἐν τῷ ΙΗ΄. Βιβλ: τῶν Ἀποστολικῶν Διατάξεων, ἐπὶ τῆς τῶν Πιστῶν Μεταλήψεως, τὸν ΛΓ΄. ψαλμὸν τετύπωται ᾄδεσθαι. Ἐπειδὴ δὲ ἐν τῇ τῶν Προηγιασμένων, ὀ πολλοὶ ὑπῆρχον οἱ μεταλαμβάνοντες, διὰ τοῦτο ὁ ῥηθεὶς ψαλμὸς ἐπιτέτμηται, ὅπως ἂν τοῖς κατ᾽ ἐκεῖνο μεθέξουσι τοῦ Μυστηρίου, τὸ ἐπᾳδόμενον μέρος συμπαρατείνηται· Καὶ γίνεται μὲν ἡ τοῦ αὐτοῦ ΛΓ΄. ψαλμοῦ Ἀνάγνωσις καὶ ἐπὶ τῆς Λειτουργίας ταύτης· ἀλλὰ καθ᾽ ἣν πρόθεσιν, κἀν ταῖς Λειτουργίαις Βασιλείου τε καὶ Χρυσοστόμου τῶν Θεοφόρων, διατέτακται γίνεσθαι.

§. 253.

Πρὸ τοῦ εἰρημένου ψαλμοῦ ἀναγινώσκεται ἡ Εὐχὴ ἡ ὀπισθάμβωνος, ἡ τῷ Ἀγῶνι τῆς τελουμένης νηστείας προσεφαρμόζουσα.

§. 254.

Μετὰ δὲ ταῦτα ἡ συνήθης Ἀπόλυσις. (Ὅρα §. 245.)

---

ΚΕΦΑ-

# ΚΕΦΑ΄ΛΑΙΟΝ Ζ΄.

## ΠΕΡΙ` ΤΩ῀Ν ῾ΙΕΡΟΤΕΛΕΣΤΙΩ῀Ν,

## τῶν ἐπὶ τοῖς Κατηχȣμένοις, καὶ ἐπὶ τῷ Βαπτίσματι, καὶ τῷ Χρίσματι.

§. 255.

Μυςήριον ἐςὶν ἐνέργεια χάριτος Θείας, διὰ σημείȣ ἐξωτερικοῦ ἐπισημαινομένη, ὡς τὸ ῥῆμα διαγορέυει τὸ τȣ῀ Θεȣ῀. Τὸ μὲν ȣ῏ν Βάπτισμα τῆς Μετανοίας, πρῶτος Ἰωάννης ὁ τȣ῀ Σωτῆρος Πρόδρομος εἰσηγήσατο· οἱ γὰρ ἐκείνου τῆς Διδασκαλίας ἀκȣ́οντες, ἀσμένως αὐτὸ προσεδέχοντο, οἷον τι σημεῖον μεταμελείας τε καὶ μεταγνώσεως, τὴν τȣ῀ Ἰσραηλιτικȣ῀ γένȣς ἐν αὐτῷ, διὰ τῆς Ἐρυθρᾶς Θαλάσσης, διάβασιν συμβολικῶς ὑπανατυπȣ́μενοι. (Ἐξόδ: ΙΔ΄. 22.)

Ὁ δὲ τȣ῀ κόσμȣ Σωτὴρ Κύριος ἡμῶν Ἰησȣ῀ς Χριςὸς, ταύτην ἐκπληρῶν τὴν προϋποτύπωσιν, πρῶτος διὰ τȣ῀ Ἁγίȣ Βαπτίσματος καθαγιάσας τὰ ὕδατα, διετάξατό τε καὶ τετελείωκε τὸ Μυςήριον

ριον, ὡς φάρμακον αὐτὸ ἁγιώτατον, πρὸς τὴν ἀπὸ τῶν ῥύπων τῆς ἁμαρτίας, τελείαν κάθαρσιν. Διὸ καὶ εἴρηκεν: Ἐὰν μή τις ἐξ ὕδατος γεννηθῇ καὶ Πνεύματος, ὀ δύναται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ. (Ἰωάν: Κεφ: Γ. 5.) Καὶ τοῖς Ἀποςόλοις δὲ τοῖς αὐτοῦ ἐνετείλατο: Πορευθέντες μαθητεύσατε πάντα τὰ Ἔθνη: Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. (Ματθ: Κεφ: ΚΗ΄. 19.) Ὁ δὲ Πρόδρομος, οὕτω περὶ αὐτοῦ ἐμαρτύρει λέγων: Οὗτος ἐςὶν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. (Ματθ: Κεφ: Γ. 11. Καὶ Μάρκος Κεφ: Α΄. 8. Καὶ Λουκᾶς Κεφ: Γ. 26. Καὶ Ἰωάννης Κεφ: Α. 33.)

§. 256.

Ὁ τῆς τοῦ Μυςηρίου τοῦδε τελετῆς τύπος, ὑπὸ τῶν Ἱερῶν Ἀποςόλων, καὶ τῶν Διαδόχων αὐτῶν ἡμῖν παραδέδοται. Ὁ γὰρ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ Παύλῳ ὑπομαθητεύσας, καὶ τοῖς λοιποῖς τῶν Ἀποςόλων σύγχρονος γεγονὼς, ἐν τοῖς περὶ τῆς Ἐκκλησ: Ἱεραρχ: (Βιβλ: Α΄. Τμήμ: Ε΄.) γράφει, ὅτι: Οἱ „πρῶτοι τῆς καθ᾿ ἡμᾶς Ἱεραρχίας καθη„γεμόνες, ἀναπληθέντες τοῦ Ἱεροῦ Δώρου, καὶ „εἰς τὸ ἑξῆς αὐτὸ προαγαγεῖν ὑπὸ τῆς

„Θεαρ-

„Θεαρχικῆς ἀγαθότητος ἀπεσαλμένοι·
„καὶ αὐτοὶ δὲ ἀφθόνως ἐρῶντες, ὡς θεῖοι,
„τῆς τῶν μετ' αὐτὰς ἀναγωγῆς καὶ Θεώ-
„σεως, αἰσθηταῖς εἰκόσι τὰ ὑπερȣράνια,
„καὶ ἐν ἀνθρώποις τε τὰ θεῖα, καὶ ἐνύ-
„λοις τὰ ἄϋλα, ταῖς ἐγγράφοις τε καὶ
„ἀγράφοις μυήσεσι, κατὰ τὰς Ἱερȣς ἡ-
μῖν ἔδωκαν θεσμȣς· ȣ τῶν ἀνιέρων ἕνε-
„κα μόνον, οἷς ȣδὲ τῶν Συμβόλων ἅπ-
„τεσθαι θεμιτὸν· ἀλλ' ὅτι καὶ συμβολι-
„κή τις ἐςὶν, ὅπερ ἔφην, ἀναλόγως ἡμῖν
αὐτοῖς ἡ καθ' ἡμᾶς Ἱεραρχία, δεομένη
„τῶν αἰσθητῶν, εἰς τὴν ἐξ αὐτῶν ἐπὶ
„τὰ νοητὰ θειοτέραν ἡμῶν ἀναγωγήν.
„Ἀνακεκαλυμμένοι δὲ ὅμως εἰσὶν οἱ τῶν
„Συμβόλων λόγοι τοῖς θείοις Ἱεροτελε-
„σαῖς· Ὁ θεῖος τοιγαρȣν Χρυσόςομος,
καὶ τῶν πάλαι πολλοὶ Πατέρων, πολλα-
χοῦ περὶ τῶν Μυςηρίων τούτων ἡμᾶς
ἐκδιδάσκȣσιν. Ἐφ' οἷς καὶ ὁ Ἱερὸς Ἀμ-
βρόσιος ἀρίςας περὶ Μυςηρίων συγγεγ-
ραφὼς ἑξ Βίβλȣς, δι' ὧν αἱ Παραδόσεις
προσεμπεδȣνται, αἷς γε ἡ Γραικο-Ρωσσια-
κὴ Ἐκκλησία ςοιχεῖ, ἄχρι τῆς σήμερον.

§. 257.

Κύριλλος ὁ Ἱεροσολύμων, τὰς περὶ
τῆς τελετῆς τȣ Ἁγίȣ Βαπτίσματος, καὶ

τȣ

τȣ̃ Χρίσματος διατυπώσεις ἡμῖν ἑρμηνεύσας ἐξέθετο.

§. 258.

Κατήχησις, ἡ ἐν ταῖς Μυςαγωγικαῖς Πρώτη, ἐςὶν ἡ πρὸς τȣ̀ς Νεοφωτίςȣς· πρὸς οὓς ȣ̃τως ὁ Κατηχητὴς διαλέγεται:

Α) Εἰσήειτε πρῶτον εἰς τὸν Προαύλιον „τȣ̃ Βαπτιςηρίȣ οἶκον, καὶ πρὸς τὰς δυσ„μὰς ἑςῶτες ἠκȣ́σατε, καὶ προσετάττεσ„θε ἐκτείνειν τὴν χεῖρα, καὶ ὡς παρόντι „ἀπετάττεσθε τῷ Σατανᾷ.

Β) „Προσέτι ἀκȣ́εις, τεταμένη τῇ χει„ρὶ, ὡς πρὸς παρόντα εἰπεῖν: Ἀποτάσσο„μαί σοι Σατανᾶ· βȣ́λομαι δὲ εἰπεῖν, καὶ „τίνος ἕνεκεν ἵςασθε πρὸς δυσμὰς, ἀ„ναγκαῖον γάρ: Ἐπειδὴ τȣ̃ φαινομένȣ „σκότȣς τύπος αἱ δυσμαὶ· ἐκεῖνος δὲ σκό„τος τυγχάνων, ἐν σκότῳ ἔχει καὶ τὸ „κράτος· τȣ́τȣ χάριν συμβολικῶς πρὸς „δυσμὰς ἀποβλέποντες, ἀποτάσσεσθε τῷ „σκοτεινῷ καὶ ζοφερῷ ἄρχοντι. Τὶ ȣ̃ν „ὑμῶν ἕκαςος ἑςὼς ἔλεγεν; Ἀποτάσ„σομαί Σοι Σατανᾶ, Σοὶ τῷ πονη„ρῷ καὶ ὠμοτάτῳ Τυράννῳ· ὀυκέτι Σȣ „δέδοικα, λέγω, τὴν ἰσχὺν· κατέλυσε γὰρ ταύτην Χριςὸς· (πρὸς Ἑβρ: Κεφ: Β΄. 14. καὶ 15.)

Γ)

„Γ) Εἶτα ἐν δευτέρᾳ λέξει, μανθά-
„νεις λέγειν, καὶ πᾶσι τοῖς ἔργοις σȣ.
„Ἔργα δὲ τȣ͂ Σατανᾶ, πᾶσα ἐςὶν ἁμαρ-
„τία· ᾗ καὶ ἀποτάσσεσθαι ἀναγκαῖον, ὡς
„εἰ καὶ τύραννόν τις ἀποφυγὼν, πάντως
„καὶ τὰ τȣ́τȣ ὅπλα ἀπέφυγε. Πᾶσα δὲ
„κατ᾽ εἶδος ἁμαρτία ἐγκατείλεκται τοῖς
„τȣ͂ Διαβόλȣ ἔργοις. Πλὴν τȣ͂το ἴσθι, ὅτι
„ὅσα λέγεις, μάλιςα κατὰ ἐκείνην τὴν
„φρικωδεςάτην ὥραν, ἔγγραφα ἐςὶ τοῖς
„τȣ͂ Θεȣ͂ Βιβλίοις.

„Δ) Εἶτα λέγεις: καὶ πάσῃ τῇ πομ-
„πῇ αὐτȣ͂. Πομπὴ δέ Διαβόλȣ ἐςὶ, Θεατ-
„ρομανίαι, καὶ Ἱπποδρομίαι, Κυνηγέσια,
„καὶ πᾶσα τοιαύτη ματαιότης, ἧς εὐχό-
„μενος ἐλευθερωθῆναι ὁ Ἅγιος, τῷ Θεῷ
„λέγει: ἀπόςρεψον τȣ̀ς ὀφθαλμȣ́ς μȣ τȣ͂
„μὴ ἰδεῖν ματαιότητα.

„Ε) Μετὰ ταῦτα λέγει: καὶ πάσῃ
„τῇ λατρείᾳ σȣ. Λατρεία δὲ ἐςὶ Διαβό-
„λȣ, ἡ ἐν εἰδωλίοις Εὐχὴ· τὰ πρός τι-
„μὴν γινόμενα τῶν ἀψύχων εἰδώλων.
„Πρόσεχε τοίνυν σεαυτῷ, καὶ μὴ ςρέφȣ
„πάλιν εἰς τὰ ὀπίσω, βαλὼν τὴν χεῖρα
„σȣ ἐπ᾽ ἄροτρον, καὶ ςρέφων πάλιν εἰς
„τὴν ἁλμυρὰν τȣ͂ βίȣ τȣ́τȣ πρᾶξιν. Ἀλλὰ

„Φεῦγε εἰς το ὄρος, πρὸς Ἰησοῦν Χριστόν.
„(Δευτερ: Δ΄. 23. Λουκᾶ Θ΄. 62. Γενέσ:
„ΙΘ΄. 26.)

„ϛ) Ὅτε οὖν τῷ Σατανᾷ ἀποτάττῃ,
„πᾶσαν τὴν πρός αὐτὸν πάντως Διαθή-
„κην λύσας, τὰς παλαιὰς πρὸς τὸν Ἅδην
„συνθήκας, ἀνοίγεταί σοι ὁ Παράδεισος
„τοῦ Θεοῦ, ὃν ἐφύτευσε κατὰ Ἀνατολὰς,
„ὅθεν διὰ τὴν παράβασιν ἐξόριστος γέγο-
„νεν ὁ ἡμέτερος Προπάτωρ· καὶ τούτου
„Σύμβολον, τὸ στραφῆναι σε ἀπὸ δυσμῶν
„πρὸς ἀνατολὴν, τοῦ φωτὸς τὸ χωρίον·
„τότε σοι ἐλέγετο εἰπεῖν: Πιστεύω εἰς τὸν
„Πατέρα, καὶ εἰς τὸν Υἱὸν, καὶ εἰς τὸ Ἅ-
„γιον Πνεῦμα· καὶ εἰς ἓν Βάπτισμα με-
„τανοίας. (Ἡσαΐ ΚΗ΄. ιϛ. Γενέσ: Β΄. 8.
„καὶ Γ΄. 23.) Πάντα δὲ δὴ ταῦτα, ἔξω
„τῆς Ἐκκλησίας εἰώθει τελεῖσθαι· ἤτοι
„εἰς τόν τοῦ Βαπτιστηρίου προαύλιον οἶκον,
„ὡς εἴρηται (ἐν τῷ Α.)

§. 259.

Κατήχησις Δευτέρα, ἡ περὶ τοῦ Βαπτίσματος· καθ' ἣν:

„Α) Εὐθὺς οὖν εἰσελθόντες ἀπεδύ-
„σασθε τὸν Χιτῶνα· καὶ τοῦτο ἦν εἰκὼν
„τοῦ τὸν παλαιὸν ἄνθρωπον ἀποδύεσθαι,
„σὺν ταῖς πράξεσιν. Ἀποδυθέντες, γυμ-

„νοὶ

„νοὶ ἦτε, μιμȣ́μενοι καὶ ἐν τȣ́τῳ τὸν
„ἐπὶ ϛαυρȣ̃ γυμνωθέντα Χριϛὸν, καὶ τῇ
„γυμνότητι ἀπεκδυσάμενον τὰς Ἀρχὰς
„καὶ τὰς ἐξȣσίας, καὶ μετὰ παῤῥησίας
„ἐν τῷ ξύλῳ θριμβεύσαντα. (Πρὸς Κο-
„λασ: Β΄. 9. καὶ 12.)

„Β) Ἐπειδὴ τοῖς μέλεσι τοῖς ἡμετέ-
„ροις ἐνεφώλευον αἱ ἀντικείμεναι Δυνά-
„μεις, ȣ̓κέτι φορεῖν ἡμῖν ἔξεϛι τὸν πα-
„λαιὸν ἐκεῖνον χιτῶνα· ȣ̓ τȣ̃τον πάν-
„τως λέγω τὸν αἰσθητὸν· ἀλλὰ τὸν πα-
„λαιὸν ἄνθρωπον, τὸν φθειρόμενον ἐν
„ταῖς ἐπιθυμίαις τῆς ἀπάτης. (Ἐφεσ:
„Δ΄. 22.)

„Γ) Εἶτα ἀποδυθέντες, ἐλαίῳ ἠλεί-
„φεσθε ἐπορκιϛῷ, ἀπ' ἄκρων τριχῶν
„κορυφῆς, ἕως τῶν κάτω· καὶ κοινωνοὶ
„ἐγίνεσθε τῆς καλλιελαίȣ Ἰησȣ̃ Χριϛοῦ·
„Ἐκκοπέντες γὰρ ἐκ τῆς ἀγριελαίȣ, ἐνε-
„κεντρίζεσθε εἰς τὴν καλλιέλαιον, καὶ κοι-
„νωνοὶ ἐγίνεσθε τῆς πιότητος τῆς ἀλη-
„θινῆς ἐλαίας· τὸ γȣ̃ν ἐπορκιϛὸν ἔλαιον
„σύμβολον ἦν τῆς κοινωνίας τῆς πιότη-
„τος τȣ̃ Χριϛȣ̃, φυγαδευτήριον τυγχά-
„νον παντὸς ἴχνȣς ἀντικειμένης ἐνερ-
„γείας. Ὥσπερ γὰρ τὰ ἐμφυσήματα τῶν
„Ἁγίων, καὶ ἡ τȣ̃ ὀνόματος τȣ̃ Θεȣ̃

„ἐπίκλησις, ὥσπερ σφοδροτάτη φλὸξ φλέ-
„γει καὶ ἐκδιώκει Δαίμονας· οὕτω καὶ τὸ ἐπορκι-
„στὸν τοῦτο ἔλαιον, ἐπικλήσει Θεοῦ καὶ εὐχῇ,
„δύναμιν τηλικαύτην λαμβάνει, ὥστε οὐ
„μόνον καῖον τὰ ἴχνη τῶν ἁμαρτημά-
„των ἀποκαθαίρειν, ἀλλὰ καὶ πάσας ἀο-
„ράτους τοῦ πονηροῦ ἐκδιώκειν τὰς δυνά-
„μεις. (Πρὸς Ῥωμ: ΙΑ΄. 17. καὶ 24.)

„Δ) Μετὰ δὲ ταῦτα ἐπὶ τὴν Ἁγίαν
„τοῦ θείου Βαπτίσματος ἐχειραγωγεῖσθε
„κολυμβήθραν, ὡς ὁ Χριστὸς ἀπὸ τοῦ σταυ-
„ροῦ ἐπὶ τὸ προκείμενον μνῆμα. Καὶ ἠ-
„ρωτᾶτο ἕκαστος, εἰ πιστεύει εἰς τὸ ὄνομα
„τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου
„πνεύματος; ὡμολογήσατε τὴν σωτήριον
„ὁμολογίαν, καὶ κατεδύετε τρίτον εἰς τὸ
„ὕδωρ, καὶ πάλιν ἀνεδύετε: καὶ ἐνταῦ-
„θα διὰ Συμβόλου, τὴν τριήμερον τοῦ
„Χριστοῦ αἰνιττόμενοι ταφήν. Καθάπερ
„γὰρ ὁ Σωτὴρ ἡμῶν τρεῖς ἡμέρας, καὶ
„τρεῖς νύκτας, ἐν τῇ κοιλίᾳ τῆς γῆς
„ἐποίησεν: οὕτω καὶ ὑμεῖς ἐν τῇ πρώτῃ
„ἀναδύσει τὴν πρώτην ἐμιμεῖσθε τοῦ Χρι-
„στοῦ ἐν τῇ γῇ ἡμέραν, καὶ τῇ καταδύ-
„σει τὴν νύκτα. (Ματθ: ΙΒ΄. 40.) ὥσπερ
„γὰρ ὁ ἐν νυκτὶ οὐκέτι βλέπει, ὁ δὲ ἐν
„ἡμέρᾳ ἐν φωτὶ διάγει· οὕτως ἐν τῇ κα-
ταδύσει,

„ταδύσει, ὡς ἐν νυκτὶ, ἐδὲν ἑωρᾶτε· ἐν „δὲ τῇ ἀναδύσει πάλιν, ὡς ἐν ἡμέρᾳ „ἐτυγχάνετε ὄντες, καὶ ἐν τῷ αὐτῷ ἀ- „πεθνήσκετε καὶ ἐγεννᾶσθε· καὶ τὸ σω- „τήριον ἐκεῖνο ὕδωρ, καὶ τάφος ὑμῖν „ἐγίνετο, καὶ μήτηρ.

Ε) „Μηδεὶς ἔν νομιζέτω τὸ Βάπτισ- „μα, ἀφέσεως ἁμαρτιῶν μόνον· (ὡς τὸ „Ἰωάννε ἐτύγχανε Βάπτισμα μόνον ἀ- „φέσεως ἁμαρτιῶν παρεκτικὸν.) ἀλλὰ κὶ „υἱοθεσίας χάριν· ἀκριβῶς εἰδότων ἡμῶν, „ὅτι, ὡς ἐςὶν ἁμαρτημάτων καθαρτήριον, „καὶ Πνεύματος Ἁγίε δωρεᾶς πρόξενον, „ἔτω κὶ τῶν τε Χριςε Παθημάτων ἀν- „τίτυπον. Διὰ τἔτο γὰρ καὶ Παῦλος ἀρ- „τίως βοῶν ἔλεγεν: ἀγνοεῖτε, ὅτι ὅσοι „ἐβαπτίσθημεν εις Χριςὸν Ἰησεν, εἰς τὸν „θάνατον αὐτε ἐβαπτίσθημεν; συνετάφημεν „ἔν αὐτῷ διὰ τε Βαπτίσματος εἰς τὸν θάνα- „τον . . . Εἰ γὰρ σύμφυτοι γεγόναμεν „αὐτῷ, τῷ ὁμοιώματι τε θανάτε αὐτε, „ἀλλὰ καὶ τῆς Ἀναςάσεως ἐσόμεθα. „(Πρὸς Ῥωμ: ϛ. 3. 4. 5.)

§. 260.

Ὁ Κύριος ἡμῶν Ἰησες χριςὸς, τὸ τε Χρίσματος Μυςήριον διετάξατο ἐν

ἐκεί-

ἐκάνοις τοῖς ῥήμασιν: Ἄλλον Παράκλητον δώσει (ὁ Πατὴρ) ὑμῖν, ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς τὸν αἰῶνα· (Ἰωάν: ΙΔ΄. 16· -- Ὁ Παράκλητος, ὃν ὁ Πατὴρ πέμψει ὑμῖν ἐν τῷ ὀνόματί μȣ, αὐτὸς ὑμᾶς διδάξει πάντα. -- Καὶ ἰδȣ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τȣ̃ Πατρός μȣ ἐφ᾽ ὑμᾶς. (Λȣκ. ΚΔ΄. 49.)

Ὅτι γὰρ ἐπαγγελίαν τȣ̃ Πατρὸς, τὴν τȣ̃ Πνεύματος ἀποστολὴν ὁ Κύριος ἡμῶν ὀνομάζει, Πέτρος ὁ Ἀπόστολος ἐπὶ τὴν τȣ̃ Ἰωὴλ Προφητείαν ἡμᾶς παραπέμπει, δι᾽ οὗ ὁ Θεὸς ὅτως ἐλάλησεν: Ἐκχεῶ ἀπὸ τȣ̃ Πνεύματός μȣ ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσȣσιν οἱ Υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν· κτ: (Πράξ: Β΄. 17.) Διότι δ᾽ ἡ τȣ̃ Πνεύματος πέμψις ἐνταῦθα ὀκ ἐπὶ μόνȣς τȣ̀ς Ἀποστόλȣς, ἀλλ᾽ ἐπὶ πάντας ἀνάγεται τȣ̀ς πιστεύοντας, διὰ δὴ τȣ̃το, πρὸς ἅπαντας ὁ Πέτρος τȣ̀ς εἰς Χριστὸν Ἰησȣ̃ν ἐπιστρέφοντας εἴρηκε: Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν, ἐπὶ τῷ ὀνόματι Ἰησȣ̃ Χριστȣ̃, εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τȣ̃ Ἁγίȣ Πνεύματος. Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσȣς ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. (Πράξ: Β΄. 38. 39.)

Ἐν τέτοις γὰρ ὁ Ἀπόςολος τὴν περὶ τὸν ἄνθρωπον πρόνοιαν τε Θεε ἀναπτύσσων, τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἐπὶ τὸ Βάπτισμα ἀναφέρει, ἐν ᾧ δήπε ἡ διὰ τε ὕδατος ἐκείνη ἐπισημαίνεται ῥύψις· ταύτην δὲ σαφῶς διαςέλλει ἀπὸ τῶν ἐπιδαψιλευθησομένων χαρισμάτων τε Πνεύματος, ὧν εἰς δήλωσιν ἡ Ἐκκλησία τὴν τε Ἁγίε ἐλαίε διετάξατο χρῖσιν, τῇ ἐντολῇ ἐμμένεσα τῇ Μωϋσεῖ παρὰ τε Θεε δοθείσῃ (Ἐξόδε. Λ΄. 23. 25. 26. 30. 31.) Λάβε ἡδύσματα . . . καὶ ποιήσεις αὐτὸ ἔλαιον, χρίσμα Ἅγιον . . . καὶ χρίσεις ἐξ αὐτε τὴν σκηνὴν τε μαρτυρίε . . . καὶ Ἀαρὼν, καὶ τὲς υἱὲς αὐτε· καὶ ἁγιάσεις αὐτὲς ἱερατεύειν μοι . . . . ἔλαιον ἄλειμμα χρίσεως Ἅγιον ἔςαι τετο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν. Τῷδε γὰρ προσερειδόμενος τῷ θεμελίῳ καὶ ὁ Ἀπόςολος Πέτρος (Ἐπις: Α΄. ἐν Κεφ: Β΄. 9.) ἀποκαλεῖ τὲς Χριςιανὲς· Γένος ἐκλεκτὸν, Βασίλειον ἱεράτευμα, ἔθνος Ἅγιον. -- Καὶ Ἰωάννης δὲ (ἐν τῇ Α΄. Ἐπιςολῇ Κεφ: Β΄. 20.) Καὶ ὑμεῖς (φησὶ) Χρίσμα ἔχετε ἀπὸ τε Ἁγίε.

Ἀλλὰ καὶ ὁ Ἀρεοπαγίτης Διονύσιος, ὁ τοῖς Ἀποςόλοις σύγχρονος γεγονὼς, τε αὐτε μνείαν ποιεῖται ἐν τῷ περὶ τῆς Ἐκκλη-

Ἐκκλησιαστικῆς Ἱεραρχίας. (Βιβλ: Β΄. Κεφαλ: Δ΄.)

Καὶ Κύριλλος δὲ ὁ Ἱεροσολύμων, ἐν τοῖς περὶ τῆς τελετῆς τῶν Μυστηρίων (ἐν Ὁμιλ: τῶν Μυσταγωγ: Γ΄.) περὶ τοῦ Χρίσματος λέγων:

Α) „Εἰς Χριστὸν βεβαπτισμένοι (φη- „σὶ) καὶ Χριστὸν ἐνδυσάμενοι, σύμφυτοι „γεγόνατε τοῦ Υἱοῦ τοῦ Θεοῦ. Προορίσας „γὰρ ὑμᾶς ὁ Θεὸς εἰς Υἱοθεσίαν, συμ- „μόρφους ἐποίησε τοῦ σώματος τῆς δόξης „τοῦ Χριστοῦ. Μέτοχοι οὖν τοῦ σώματος τοῦ „Χριστοῦ εἰκότως καλεῖσθε· καὶ περὶ ὑμῶν „ἔλεγεν ὁ Θεός: μὴ ἅψησθε τῶν Χριστῶν „μου. Χριστοὶ δὲ γεγόνατε, τοῦ Ἁγίου Πνεύ- ματος τὸ ἀντίτυπον δεξάμενοι. (Πρὸς Γαλάτ: Γ. 27. Πρὸς Ῥωμ: Η΄ 29. πρὸς Ἐφεσ: Α΄. 5. πρὸς Ἑβρ: Γ΄. 13. Ὅρα μοι καὶ τῶν τοῦ αὐτοῦ Κυρίλλου Εἰσαγωγικῶν Κατηχήσεων, τὴν ΙΗ΄. Καὶ ψαλμ; ΡΔ΄. 15.)

Β) „Καὶ πρῶτον ἐχρίεσθε ἐπὶ τὸ μέ- τωπον, ἵνα ἀπαλλαγῆτε τῆς αἰσχύνης, ἧς „ὁ πρῶτος παραβάτης ἄνθρωπος πανταχοῦ „περιέφερε· καὶ ἵνα ἀνακεκαλυμμένῳ „προσώπῳ τὴν δόξαν κατοπτρίζησθε. „Εἶτα ἐπὶ τὰ ὦτα, περὶ ὧν Ἡσαΐας ἔλε-

γε:

„γε: καὶ προσέθηκέ μοι Κύριος ὠτίον τȣ̃
„ἀκȣ́ειν. Εἶτα ἐπὶ τὴν ὄσφρησιν: ὅπως
„τȣ̃ θείȣ ἀντιλαμβανόμενοι Μύρȣ λέγη-
„τε: Χριςȣ̃ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν
„τοῖς Σωζομένοις· Μετὰ ταῦτα ἐπὶ τὰ
„ςήθη: ἵνα ἐνδυσάμενοι τὸν θώρακα τῆς
„δικαιοσιώης, ςῆτε πρὸς τὰς μεθοδείας τȣ̃
„Διαβόλȣ. Ὥσπερ γὰρ ὁ Χριςὸς μετὰ
„τὸ Βάπτισμα, καὶ τὴν τȣ̃ Ἁγίȣ Πνεύ-
„ματος ἐπιφόιτησιν, ἐξελθὼν κατηγωνί-
„σατο τὸν ἀντικείμενον, ὅτω καὶ ὑμεῖς
„μετὰ τὸ Ἱερὸν Βάπτισμα, καὶ τὸ Μυ-
„ςικὸν Χρίσμα ἐνδεδυμένοι τὴν πανοπ-
„λίαν τȣ̃ Ἁγίȣ Πνεύματος, ἵςαθε πρὸς
„τὴν ἀντικειμένην δύναμιν, ϗ ταύτην κα-
„ταγωνίζηθε, λέγοντες: πάντα ἰχύω ἐν
„τῷ ἐνδυναμȣ̃ντι με Χριςῷ, (Γεν Γ. 7.
καὶ 8. Β΄. πρὸς Κορινθ: Γ. 18. Ἠσαϊ: Η.
4. Ματθ: ΙΑ. 15. Β. πρὸς Κορινθ: Β.
15. Πρὸς Ἐφεσ: ϛ΄. 11. καὶ 14. Ματθ: Δ΄.
1. καὶ τοῖς ἑξῆς. Πρὸς Φιλιπ: Δ΄. 13.)

Γ) „Τȣ́τȣ τȣ̃ Ἁγίȣ Χρίσματος κα-
„ταξιωθέντες, καλεῖσθε χριςιανοὶ, ἐπα-
„ληθεύοντες τῇ ἀναγεννήσει καὶ τὸ ὄνο-
„μα . . . . τȣ́τῳ ȣ̓̃ν χριθέντες τῷ
„Ἁγίῳ Μύρῳ, τηρήσατε αὐτὸ, ἄσπιλον,
„ἄμωμον ἐν ὑμῖν, δι᾽ ἔργων ἀγαθῶν προ-
κόπτον-

„κόπτοντες, καὶ εὐάρεστοι γενόμενοι τῷ „ἀρχηγῷ τῆς Σωτηρίας ὑμῶν Χριστῷ „Ἰησοῦ.

§. 261.

Ὁ Ἱερεὺς μετὰ τοῦ Ἀναδόχου, καὶ τοῦ βρέφους, πρόεισιν εἰς σχῆμα κύκλου, τρὶς: δηλουμένης ἐντεῦθεν τῆς τοῦ Χριστοῦ μετὰ τῆς Ἐκκλησίας ἐπινυμφεύσεως, Ὥσπερ γὰρ ὁ κύκλος, ἀμοιρῶν πέρατος. Σύμβολον ἐστὶ τῆς αἰωνιότητος, οὕτω διὰ τῆς ἐν κύκλῳ χορείας, αἰώνιός τε καὶ ἀμετάθετος ἐπιμαρτυρεῖται, ἡ τῶν εὐχῶν τοῦ ἐν τῇ Ἐκκλησίᾳ ὑποδεχθέντος ἐκπλήρωσις.

§. 262.

Καὶ ᾄδεται: Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, κτ: Τὸ δ' Ἆσμα, ἐμφαντικὸν ἐστὶ πνευματικοῦ γήθους, καὶ τῆς κατὰ τοῦ Διαβόλου νίκης, οἷά τις θριαμβικὴ ἀνακήρυξις.

§. 263.

Ψάλλεται δὲ Προκείμενον, τό: Κύριος φωτισμός μου κτ: Διὰ γὰρ τοῦ Μυστηρίου τοῦ Ἁγίου Βαπτίσματος ὁ ἄνθρωπος ἀναγεννᾶται, καὶ πρὸς τὸ τὰς Εὐαγγελικὰς ἀληθείας συνιέναι τὸν νοῦν κατελλάμπεται.

ται. Ἐπιπροσᾴδεται δὲ καὶ τό: Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀραρῶς πάνυ· ὁ γὰρ τῷ ἐλαίῳ χριθεὶς τῷ Ἁγίῳ, καὶ τοῖς τοῦ Θείου Πνεύματος χαρίσμασιν ἐπικαταπεφραγμένος, κατὰ τῶν πολεμίων τοῦ Εὐαγγελίου ἰσχυρῶς ἀγωνίζεται.

§. 264.

Ἀναγινώσκεται δὲ τοῦ Ἀποστόλου περικοπὴ, ἐν ᾗ καὶ τῆς Ἱεροτελεστίας ἡ πρόθεσις, καὶ οἱ καρποὶ τοῦ Ἁγίου Βαπτίσματος περιγράφονται. Καὶ ἡ τοῦ Εὐαγγελίου δὲ, ἐν ᾗ ἀπομνημονεύεται ἡ τοῦ Μυστηριώδους τούτου Μυστηρίου θεία διάταξις, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς Ἱεροῖς αὐτοῦ Μαθηταῖς παρέδωκε μετὰ τὴν Ἀνάστασιν.

§. 265.

Τῇ ὀγδόῃ πάλιν ἡμέρᾳ ὁ βαπτισθεὶς ἄγεται εἰς τὴν Ἐκκλησίαν, πρὸς τὸ ἀπολούσασθαι. Καὶ λύει αὐτῷ ὁ Ἱερεὺς τὸ Σάβανον καὶ τὴν ζώνην, λέγων τὰς ἐπὶ τούτῳ Εὐχάς. Ἡ δὲ Παράδοσις τῆς Ἐκκλησίας αὕτη πάλαι εἰς ἀεὶ διεσώζετο. Οἱ γὰρ ἀρτίως φωτισθέντες, μεθ' ἡμέρας ὀκτὼ ἀφ' ἧς ἐβαπτίσθησαν, ἀπερχόμενοι

μενοι εἰς τὴν Ἐκκλησίαν ἀπεξεδύοντο τὰ λευκὰ ἱμάτια, τὰ ἐπὶ τοῦ Βαπτισμοῦ αὐτοῖς περιτεθέντα· ἀπεπλύνοντο δὲ αὐτοῖς, καὶ τὰ τοῦ Σώματος μέρη, ἃ τῷ ἐλαίῳ προκέχριστο, εἰς ἔνδειξιν εὐλαβείας τῆς περὶ αὐτὸ τὸ Μυστήριον· Διὸ τοῖς ἐν ἡλικίᾳ προηκούσῃ τοῦ Βαπτισμοῦ καταξιουμένοις, ἐπὶ ὀκταημέροις δέον σχολάζειν ταῖς ἐπὶ τῆς Ἐκκλησίας δεήσεσι· καὶ νηστεύειν δὲ, συμποσίων ἀπεχομένοις, καὶ οἱασοῦν ἄλλης κοσμικῆς τρυφῆς, καὶ ἡδυπαθείας τῆς τῶν αἰσθήσεων.

§. 266.

Καὶ λύει τὸ ζωνάριον τοῦ Παιδίου, καὶ τὸ Σάβανον, καὶ ἑνώσας τὰς ἄκρας αὐτῶν, βρέχει μετὰ ὕδατος καθαροῦ αὐτὰς, καὶ ῥαίνει τὸ Παιδίον, λέγων: Ἐδικαιώθης, ἐφωτίσθης, ἡγιάσθης, ἀπελούσθης. Οὕτω γὰρ αὕτη τελεῖται ἡ ἀπόλουσις, ὡς ὁ Ἱερὸς γράφει Συμεὼν ὁ Θεσσαλονίκης, ἐν Κεφαλ. ἑξηκοστῷ ὀγδόῳ.

§. 267.

Μετὰ δὲ τὸ Χρίσμα. τὴν Εὐχὴν ὁ Ἱερεὺς ἀναγινώσκει, τὴν ἐπὶ τῆς Τριχοκουρέιας, καὶ κουρεύει τὸν βαπτισθέντα σταυροειδῶς, λέγων: Κείρεται ὁ δοῦλος τοῦ Θεοῦ ΝΤ:

Α) Διὰ τῆς Τριχοκȣρείας, ταύτης, ὡς δι' αἰσθητȣ̃ Σημείȣ ἅπας Χριςιανὸς ἐκδιδάσκεται, ἅπασαν πονηρὰν ἐνθύμημησιν πόῤῥω αὐτοῦ ἀπελαύνειν.

Β.) Κείρονται δὲ τȣ̃ Νεοφωτίςȣ αἱ Τρίχες, οἱόντις προσφορὰ πρώτη πρὸς αὐτȣ̃ τῷ Κυρίῳ προσαγομένη· τȣ̃, μὴ μόνlω ἄρα τlὼ ψυχlὼ, ἀλλὰ καὶ τὸ σῶμα το ἑαυτȣ̃ παριςῶν ἐνδεικνυῶτος, θυσίαν ζῶσαν, Ἁγίαν, εὐάρεςον τῷ Θεῷ, τlὼ λογικlὼ λατρείαν, καθάπερ ἦν διδάσκων Παῦλος ὁ θεῖος Ἀπόςολος. (Πρὸς Ῥωμ: ΙΒ. 1.)

Ὁ τοίνuω Μάρτυς Ἰȣςῖνος ἐν Ἀποκρίσει ΡΛΖ΄. πρόςγε τοῖς ἄλλοις ἔφασκεν, ὅτι, Χριόμεθα τῷ ἐλαίῳ, ἵνα γινώμεθα Χριςοί. πρȣτεθείκει γὰρ ἐν Ἀποκρ: ΙΔ΄. ὅτι, τῷ τοῦ Ἐλαίȣ Χρίσματι τελεῖται τὸ Βάπτισμα.

Καὶ ὁ θεῖος δὲ Κυπριανὸς, (ἐν Ἐπις: ΞΔ΄.) Οὐδενὶ βρέφει τεχθέντι, τὸ τȣ̃ Θεȣ̃ ἔλεος καὶ τlὼ χάριν δεῖ ἀπαναίνεσθαι. Τȣ̃ γὰρ Κυρίȣ ἐν τῷ Εὐαγγελίῳ αὐτȣ̃ εἰπόντος, μηδαμῶς ἐληλυθέναι ἀνθρώπων ψυχὰς ἀπολέσαι, ἀλλ' ἐπὶ τῷ σῶσαι, πολλῷ δήπȣ μᾶλλον ἡμῖν ἀφεκτέον, τȣ̃ τινὰ ἀπολȣμένlω ψυχlὼ παριδεῖν.

Ὁ δὲ Ἀθανάσιος (ἐν Ἀποκ: ηΔ΄.) ,Τὸ βρέφος τρὶς μὲν βαπτίζομεν ἐν τῷ

ὕδατι

ὕδατι, τρὶς δ' ἐξανάγομεν τῦ ὕδατος, τὸν Χριςῦ Θάνατον, καὶ τὴν αὐτῦ τριήμερον Ἀνάςασιν καταγγέλλοντες.

Καὶ ὁ Κυπριανὸς πάλιν: (Ἐπις: Ος'. πρὸς Μάγνον.) Πυνθάνῃ, Ἀγαπητὲ, τί δήποτε τυγχάνω φρονῶν περὶ τῶν ἐν νοσήματι, καὶ ἐν διαλύσει δυνάμεων τὸ Θεῦ χάρισμα δεχομένων, εἰ δικαίως αὐτοὶ χριςιανοὶ νομισθήσονται, ὡς μὴ ἐν τῷ Σωτηρίῳ ὕδατι καταδῦντες, ἀλλ' ἀποπλυνθέντες; Ἡμεῖς ὅσα γε συνορᾷν δυνάμεθα, φιλανθρώπως, οἰόμεθα, ὅτι τὰ παρὰ Θεῦ εὐεργετήματα οὐδὲν ἔλαττον ἐπιχορηγεῖται, ἔνθα τελεία ἡ πίςις ἐςὶ τῦ τε διδόντος καὶ τῦ λαμβάνοντος. - Καὶ ἐν Ἐπις: δὲ Ο. Πρὸ πάντων ὑπὸ τῦ Ἱερέως καθαγνιςέον καὶ καθαγιαςέον τὸ ὕδωρ, ὡς ἂν δυνηθείη τὸ Βάπτισμα, τὰ τῦ βαπτιζομένυ ἁμαρτήματα ἐξαλεῖψαι. Πῶς δ' ἂν ἁγνίσαι τε ἔχοι καὶ καθαγιάσαι τὸ ὕδωρ, ὁ ὢν ἀκάθαρτος, καὶ τῦ Ἁγίυ Πνεύματος ἀμοιρῶν; Ὅταν γὰρ διερωτῶμεν: πιςεύεις ὅτι ζωῆς τῆς αἰωνίυ, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν διὰ τῆς Ἁγίας Ἐκκλησίας τεύξῃ; Τὴν τῶν ἐξημαρτημένων ἄφεσιν ὑπὸ μόνης τῆς Ἐκκλησίας ὑπολαμβάνομεν δίδοσθαι.

Ὁ δὲ Τερτυλλιανὸς (ἐν τῷ περὶ τῦ ςεφάνυ) Προσερχόμενοι τῷ ὕδατι, πρὸ πάντων ἐν τῇ Ἐκκλησίᾳ ὑπὸ χειρὶ τῇ τῦ Ἀρχιερέως μαρτυρῦμεν, ὅτι ἀποτασσόμεθα τῷ Διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτῦ, ἔπειτα τρὶς Βαπτιζόμεθα.

Καὶ

Καὶ ὁ Μέγας δὲ Βασίλειος (ἐν τῷ περὶ τοῦ Ἁγίȣ Πνεύματος Κεφαλ: ΚΖ΄. Ἐυλογȣ̃μεν τὸ ὕδωρ τȣ̃ Βαπτίσματος, ϗ τὸ Ἔλαιον τῆς Χρίσεως· καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον ἀπὸ τῆς σιωπωμένης καὶ μυςικῆς παραδόσεως, ἐκ τῆς διδασκαλίας ἣν οἱ Πατέρες ἡμῶν ἐφύλαξαν.

Καὶ Γρηγόριος ὁ Ναξιανζηνὸς (ἐν Λόγῳ Μ΄. τῷ εἰς τὸ Ἅγ: Βάπτ:) |Βάπτισμα (καλȣ̃μεν) ὡς συνθαπτομένης τῷ ὕδατι τῆς ἁμαρτίας. Χρίσμα δὲ, ὡς ἱερὸν καὶ βασιλικόν.

Καὶ ὁ Χρυσόσομος (εἰς τὴν Β΄. πρὸς Κορινθ: ἐν Ὁμιλ: Β΄.) Ἴςε ταῦτα οἱ μεμυημένοι· ἀναμνήσθητε γȣ̃ν τῶν ῥημάτων ἐκείνων, δι᾽ ὧν ἀπετάξασθε αὐτȣ̃ τῇ τυραννίδι, γόνυ κλίναντες, καὶ πρὸς τὸν Βασιλέα αὐτομολήσαντες, ϗ τὰ φρικώδη· ἐκεῖνα φθεγξάμενοι, δι᾽ ὧν παιδευόμεθα μηδὲν αὐτῷ καθόλȣ πείθεσθαι.

Καὶ ὁ Μεδιολάνων δὲ Ἀμβρόσιος, ἐν τῷ Βιβλ: τῶν Νεοφωτίςων· καὶ ἐν οἷς Βιβλίοις τȣ̀ς Θεμελίȣς, καὶ τὰς τελετȣργίας τῶν τοιῶνδε Μυςηρίων ἐξέθετο.

---

ΚΕΦΑ-

# ΚΕΦΑ'ΛΑΙΟΝ Η'.

## ΠΕΡΙ' ΜΕΤΑΝΟΙ'ΑΣ, 'ΗΤΟΙ 'ΕΞΟΜΟΛΟΓΗ'ΣΕΩΣ.

§. 268.

Ἰησοῦς Χριςὸς ὁ τȣ̃ κόσμȣ Σωτὴρ, τὸ Ἐυαγγέλιον ἤρξατο κηρύσσειν ἐν τȣ́τοις τοῖς ῥήμασι: Μετανοεῖτε· ἤγγικε γὰρ ἡ Βασιλεία τῶν ȣ̓ρανῶν. (Ματθ: Δ'. 17.) Δεικνὺς ὡς ἡ μετάνοια ἐςὶ τὸ μέσον τῆς ἡμῶν πρὸς Θεὸν προσεγγίσεως· τὸ δὲ τȣ̃ βίȣ ἀνειμένον τε καὶ ἀκόλαςον, ὀλεθρίους μεθ' ἑαυτὸ ἐπισπᾶται τὰς ἀποβάσεις. Παρατιθεὶς τοίνυν τὴν Ἐκκλησίαν τοῖς Μαθηταῖς αὐτȣ̃ εἴρηκε: Καθὼς ἀπέςαλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τȣ̃το εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς: λάβετε Πνεῦμα Ἅγιον· ἄντινων ἀφῆτε, τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄντινων κρατῆτε, κεκράτηνται. (Ἰωάν: Κ. 21. 22. 23.)

Τὸ μὲν οὖν Ἐυαγγέλιον ἐντέλλεται ἡμῖν, τὴν ἐν τῷ βίῳ ἔκλυσίν τε καὶ ῥαςώνην ἐκφεύγειν, καὶ ἐγρηγορέναι, ἅτε ἀγνοȣ̃ντας τὴν ὥραν, καθ' ἣν εἰς κρίσιν ἡμᾶς ὁ Θεὸς προσκαλέσεται· Διὸ δὴ, ὡς ἄντινα τῶν θείων αὐτȣ̃ ἐντολῶν τύχοιμεν παραβεβηκότες, εἰς μετάνοιαν ὀφείλο-

ὀφείλομεν σπεύδειν, μεμνημένοι τȣ̃ Θείȣ ῥήματος: ᾗ δ᾽ ἂν ἡμέρᾳ ἄνθρωπος τῶν ἁμαρτημάτων αὐτȣ̃ μνησθῇ, ȣ̓δ᾽ ἐγὼ τȣ́των ἔτι ȣ̓ μὴ μνησθῶ. Νῦν ἡμῶν ὁ Σωτὴρ μακαρίȣς ἀποκαλεῖ τȣ̀ς πτωχȣ̀ς τῷ Πνεύματι· τȣτέστι τȣ̀ς ἐνώπιον τȣ̃ Θεȣ̃, τὴν ἰδίαν ταπείνωσιν καὶ ἀναξιότητα συνορῶντας τε καὶ ἐπιγινώσκοντας. Τοιȣ̃τος γὰρ τῶν Ἀποστολικῶν ῥημάτων ὁ νȣ̃ς: ταπεινώθητε ἐνώπιον τȣ̃ Κυρίȣ, καὶ ὑψώσει ὑμᾶς· (Ἰακ: Ἐπισ: Κεφ: Δ. 10.) τοῦ γὰρ ἰδίȣ συνειδότος ἐφ᾽ ἁμαρτίαις ἡμᾶς ἐξελέγχοντος, πῶς οἷόν τε τȣ̃ Θεȣ̃ ἐνώπιον παραστῆναι, καὶ μὴ τὴν ἑαυτῶν ἐπιγνῶναι ἀσθένειαν;

Ἀλλ᾽ ἐπειδὴ ἡ ἐν ἀνθρώπῳ βασιλεύȣσα Φιλαυτία, τὴν ἐπὶ τοῖς ὑφ᾽ ἡμῶν ἐξαμαρτανομένοις ὑποχαυνοῖ κρίσιν, ἐπὶ πάσης ἐξομολογήσεως προφάσεις τινὰς ἐπιπροφασίζεσθαι εἰωθότων, διὰ δὴ τȣ̃το τοῖς Ἀποστόλοις αὐτȣ̃, καὶ τȣ́των τοῖς διαδόχοις, τὴν τοιάνδε κρίσιν ὁ Κύριος ἡμῶν ἐπέτρεψεν: (Ματθ: ΙΗ΄. 14. 15. 16. 17. 18.) εἰπών: Ούκ ἔστι θέλημα ἔμπροσθεν τȣ̃ Πατρὸς ὑμῶν τȣ̃ ἐν ȣ̓ρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τȣ́των· ἐὰν δὲ ἁμάρτῃ εἰς Σὲ ὁ ἀδελφὸς Σȣ, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σȣ̃ καὶ ἐκείνȣ μόνȣ· Ἐάν Σȣ ἀκȣ́σῃ, ἐκέρδησας τὸν ἀδελφόν Σȣ. Ἐὰν

δὲ μὴ ἀκέσῃ, παράλαβε μετὰ Σȣ̃ ἕνα ἢ δύο . . . ἐὰν δὲ μηδὲ Σȣ̃, μηδὲ τῶν μαρτύρων ἀκέσῃ, εἰπὲ τῇ Ἐκκλησίᾳ . . . Εἶτα προσέθετο: ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔςαι δεδεμένα ἐν τῷ ȣ̓ρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔςαι λελυμένα ἐν τῷ ȣ̓ρανῷ. Ταύτην ἔδωκε τὴν ἐξȣσίαν τοῖς ποιμέσι τῆς Ἐκκλησίας ὁ Κύριος, Φύλακας αὐτȣ̀ς εἶναι τῶν Μυςηρίων τῶν Εὐαγγελικῶν, ἐπιτάξας: ὧν μέντοι ἡ κρίσις τῇ τȣ̃ Εὐαγγελίȣ διδασκαλίᾳ ὀφείλει πάντως ἐρείδεσθαι.

§. 269.

Τȣτὶ δ' ἡμᾶς, ἐπὶ τὴν διάσκεψιν ἄγει τῆς ἐναπαιτȣμένης τῇ τȣ̃ μετανοȣ̃ντος ψυχῇ διαθέσεως.

Α.) Δεῖ δὴ, ἐπὶ τοῖς πλημμεληθεῖσιν. ȣ̔́τως αὐτὸν ἀνανῆψαι, οὕτω τε ὅλως μεταμεληθῆναι, ὥςε ςεῤῥῶς προθέσθαι μηκέτι τὸ ἑξῆς ἁμαρτήσεσθαι.

Ἠρνήσατο μὲν ὁ Πέτρος τὸν Κύριον, ἀλλ' ὕςερον τῆς Ἰησȣ̃ Χριςȣ̃ ἐπιδημίας μάρτυς ὑπῆρξε, καὶ τῆς αὐτȣ̃ διδασκαλίας διαπρύσιος κῆρυξ. Διώκων ἦν Παῦλος τὴν τȣ̃ Θεȣ̃ Ἐκκλησίαν, ἀλλ' ὕςερον σκεῦος ἐκλογῆς κατέςη, εἰς τὸ εὐαγγελίσασθαι Χριςȣ̃ τὸ ὄνομα ἔθνεσί τε καὶ βασιλεῦσι, καὶ τοῖς υἱοῖς Ἰσραήλ. Με-

τέγνω ἡ Πόρνη, καὶ τῆς ἀκολασίας ἐξῆς ἀπέχετο. Ὅσῳ γὰρ ἂν καὶ ἢ τὰ παρανομηθέντα μεγάλα, ἀλλ᾽ ἡ περὶ αὐτὰ τοιάδε μετάνοια πρὸς συγγνώμην τὸν οἰκτίρμονα Θεὸν ἐπικάμπτει καὶ προσεφέλκεται.

Β) Δεῖ δὲ τὸν μετανοοῦντα, τὴν ἑαυτοῦ πρόθεσιν ταύτην, διάτε πίστεως καὶ ἐλπίδος, τῇ τοῦ Σωτῆρος ἐπιστηρίζειν Χάριτι. Ὁ γὰρ τοῦ Νόμου παραβάτης οὐκ ἄλλοθεν ἔχει, ὅθεν ἑαυτὸν δικαιώσειεν. Ἅυτη δ᾽ ἡ τοῦ Ἀποστόλου διάνοια ἐστὶν ἐν τῇ πρὸς Ῥωμαίους (Κεφ: Γ΄. 23. 24.) γράφοντος: Ὅτι πάντες ἥμαρτον . . . δικαιοῦνται δὲ δωρεὰν τῇ αὐτοῦ Χάριτι, διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Γ.) Δεῖ δὲ καὶ τὰ πλημμεληθέντα, τῇ τοῦ Ἱερέως κρίσει καθυποβάλλειν: 1. Ὅτι τῷ Ἱερεῖ δέδοται ἡ ἐξουσία τοῦ περὶ αὐτῶν ἀποφαίνεσθαι. 2. Ὅτι καὶ ἡ τούτου κρίσις, οὐκ ἀπὸ τῆς ἰδίας αὐτοῦ βουλῆς τε καὶ γνώμης, ἀλλ᾽ ἀπὸ τῆς τοῦ Σωτῆρος διδασκαλίας ἤρτηται.

Δ.) Διὰ τοῦτο χρὴ τὸν μετανοοῦντα, οὐχ ὅπως μηδὲν προσποιεῖσθαι ὅλως, ἀλλὰ καὶ τὰ ἐξημαρτημένα πάντα ἀνακαλύπτειν, καὶ ἐκτιθέναι εἰλικρινῶς καὶ ἀπρο-

 φασίστως

φασίςως, καὶ αὐτῶν ἔτι τῶν εἰς τὸ ἁμαρτῆσαι ἐναγαγόντων ἐπιμνημονεύοντα· ὁρᾷ γὰρ τὴν μετάνοιαν ταύτην Θεὸς ὁ τῶν κρυφίων τοῦ ἀνθρώπου ἐξεταςὴς· ἔνθεν τοι καὶ δεδιέναι δεῖ καὶ προσέχειν, μήποτε τοῦ κανόνος τοῦδε ὀλιγωροῦντες, οὐ μόνον τῆς τῶν ἐξημαρτημένων ἀποστερηθῶμεν ἀφέσεως, ἀλλὰ καὶ Θεὸν ἔτι πρὸς ὀργὴν παροξύνωμεν. Ἡ γὰρ ἐξομολόγησις καθαρὰν ἀπαιτεῖ τῆς ψυχῆς τὴν διάθεσιν μετὰ θερμότητος, ἵν' εἰς ἔλεον ἐπικάμψῃ τὴν τοῦ Θεοῦ ἀγαθότητα.

§. 270.

Τοιγαροῦν ἡ Καθολικὴ Ἐκκλησία, τοῦ τοσοῦτον ἀναγκαίου τῷ Ἀνθρώπῳ Μυςηρίου, τὸν ἐφεξῆς διετάξατο τύπον: Ἀναγινώσκεται ὁ Πεντηκοςὸς ψαλμὸς, ὁ τοῦ Δαβὶδ παριςῶν τὴν μετάνοιαν. Ἐπαναγινώσκονται δὲ καὶ εὐχαί τινες καὶ ἱκεσίαι, ἐν αἷς ἡ τῶν πλημμελούντων μετάγνωσις περιείληπται, καὶ τὸ τοῦ Θεοῦ πρὸς αὐτοὺς εὐμενὲς καὶ εὐίλατον παραδηλοῦται, ὡς ἂν ἐντεῦθεν ὁ ἁμαρτωλὸς διατεθείη πρὸς τὸ γνησίως μεταμεληθῆναι, καὶ τελεία ἐνδιεγερθείη αὐτῷ ἡ ἐλπὶς ἡ πρὸς τὴν τοῦ Σωτῆρος ἀγαθότητα.

Διερω-

Διερωτᾶται δὲ ὁ μετανοῶν, καὶ περὶ τῆς ὁμολογίας τῆς πίστεως, ἵν᾿ ᾖ δῆλος, ὅπως περὶ τὰ πιστευτέα τυγχάνει φρονῶν· οὐ γὰρ τῷ αἱρέσει ἐνισχημένῳ δοτέον τὴν ἄφεσιν ὧν ἐξήμαρτεν.

Ἐπερωτᾶται δὲ καὶ ὑπὲρ τῶν ἁμαρτημάτων, ὧν ἐστὶν ἔνοχος. Τοῦ γὰρ Κυρίου εἰρηκότος, τό: ὅσα ἂν δήσητε, καὶ ὅσα ἂν λύσητε, εὔδηλον ὅτι τῷ Πνευματικῷ Πατρὶ, οὐχ ὅπως τὴν τοῦ μετανοοῦντος πλημμέλειαν γνωστὴν εἶναι ἐπάναγκες, ἀλλ᾿ ἔτι μὴν καὶ τὰς περιστάσεις τὰς ἐν ἐκείνῃ, καὶ τὰς ἀφορμὰς, αἵ καὶ πρὸς τὸ πλημμελῆσαι αὐτὸν ἐπήγαγον, ἵν᾿ οὕτω βεβαίως τὴν ἐκείνου εἰδέναι ἔχῃ ἐπιστροφήν τε καὶ μεταμέλειαν.

§ 271.

Ἐνίοτε δὲ καὶ ἐπιτίμιον τῷ ἐξομολογηθέντι ὁ Ἱερεὺς ἐπιβάλλει· ὅπερ οὖν οὐκ ἔστι τῷ ὄντι ἱκανοποίησις· ταύτην γὰρ, ἐν μόνῳ τῷ Σωτῆρι, τῷ τὴν ἁμαρτίαν ἄραντι τοῦ κόσμου εὑρίσκομεν· ἀλλ᾿ ἄπως οἷόν τι μέσον καθίσταται πρὸς βίου διόρθωσιν, καὶ τῆς ἐπὶ τὸ ἁμαρτάνειν ῥοπῆς ἀνταναίρεσιν. Οἷον φέρε, τῷ μὲν φιλαργύρῳ ἐπιτακτέον, τὴν ἐπενεχθεῖσαν

σαν ἑτέρῳ ὑπ᾽ αὐτȣ̃ ζημίαν ἀκέσασθαι. ἤ τοῖς ἐν ἐνδέιᾳ ἐπιςενȣμένοις ἐπικȣρῆσαι. Τῷ δ᾽ ἀκολάςῳ καὶ λάγνῳ νηςέιαν ἐπασκεῖν· τῷ δὲ περὶ τὴν πίςιν ἐκλέιποντι, ἐν προσευχαῖς καὶ δεήσεσι, ϗ Ἱερῶν βιβλίων ἐνδελεχέσι μελέταις καὶ ἀναγνώσεσιν ἀχολεῖσθαι. κτ: (Ὅρα ἐν τῇ Βίβλῳ τῇ περὶ Ἱερωσ: §. 90.)

§. 272.

Συντελȣ̃σι δὲ πρὸς ἀνάπτυξιν τῶν ῥηθέντων αἱ τῶν θεοφόρων Πατέρων ἐπιμαρτυρήσεις αἱ ἐφεξῆς: α) Ὁ θεῖος Γρηγόριος ὁ Ναζιανζηνὸς, (ἐν Λόγῳ ΙΕ. τῷ διὰ τὴν πληγὴν τῆς Χαλάζης.) Μὴ ἀναμείνωμεν (φησὶν) ὑπ᾽ ἄλλων ἐλεγχθῆναι· ἡμῶν αὐτῶν ἐξετασαὶ γενώμεθα. Μέγα κακίας φάρμακον, καὶ ὁμολογία, καὶ φυγὴ τȣ̃ πταίσματος. Ὁ δ᾽ αὐτὸς Πατὴρ (ἐν Λόγ: Μ. τῷ εἰς τὸ Βάπτισμα.) Σὺ μὲν δεήσῃ τȣ̃ Δεσπότȣ τυχὸν, ὁ καλὸς καὶ φιλάνθρωπος γεωργὸς, ἔτι φείσασθαι τῆς συκῆς, καὶ μήπω ταύτην ἐκτεμεῖν ἐγκαλȣμένην τὸ ἄκαρπον, ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, ςεναγμȣ̀ς, ἀνακλήσεις, χαμευνίας, ἀγρυπνίας, τῆξιν ψυχῆς τε καὶ σώματος, τὴν δι᾽ ἐξαγορεύσεως, καὶ ἀτιμοτέρας ἀγωγῆς ἐπανόρθωσιν.

Καὶ ὁ θεῖος δὲ Χρυσόςομος, (εἰς τὴν Β. πρὸς Κορινθ: Ὁμιλ: ΚΒ.) Κἂν

μυρία

μυρία πεπλημμεληκότες ὦμεν, δυνατὸν ἀνακτήσασθαι, ἕως ἂν ἐνταῦθα ὦμεν. Μὴ ἀνάμενε ἐπιςρέψαι πρὸς Κύριον, καὶ μὴ ἀναβάλλε ἡμέραν ἐξ ἡμέρας. Καὶ εἰς τὴν πρὸς Ἑβραίους δὲ, (Ὁμιλ: ΝΑ΄.) Ἂν τὰ σαυτοῦ ἐξαγορεύσῃς τῷ Δεσπότῃ, πολὺν ἔχεις τὸν μισθόν. Εἶπε γὰρ Δαβίδ: ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Καὶ αὖ (εἰς τὴν πρὸς Ἑβρ: Ὁμ: ΛΑ΄.) Πῶς ἀξιοῖς συγγνώμης τυχεῖν, εἰπέμοι, ἐπὶ τοῖς ἁμαρτήμασι, μηδέπω ταῦτα ὁμολογήσας Σύ; μηδέπω πείσας σαυτὸν ἡμαρτηκέναι; πῶς ἀξιοῖς ἐλεηθῆναι; Ἐπὶ τοῦ Θεοῦ ταῦτα ὁμολόγησον· ἐὰν δὲ νῦν ἐπιλάθῃ, τότε αὐτῶν ἀναμνησθήσῃ καὶ ἄκων, ἐπὶ τῆς οἰκουμένης ἁπάσης.

Καὶ ὁ Μέγας δὲ Βασίλειος (ἐν τοῖς Καν: Ἀναγκαῖον τοῖς πεπιςευμένοις τὴν οἰκονομίαν τῶν Μυςηρίων τοῦ Θεοῦ ἐξομολογεῖσθαι τὰ ἁμαρτήματα. Οὕτω γὰρ οἱ πάλαι μετανοοῦντες ἐπὶ τῶν Ἁγίων εὑρίσκονται πεποιηκότες. Γέγραπται γὰρ ἐν μὲν τῷ Εὐαγγελίῳ, (Ματθ: Γ. 6.) ὅτι τῷ Βαπτιςῇ Ἰωάννῃ ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν. Ἐν δὲ ταῖς Πράξεσι (ΙΘ. 18.) τοῖς Ἀποςόλοις· ὑφ' ὧν καὶ ἐβαπτίζοντο ἅπαντες.

---

ΚΕΦ:

# ΚΕΦΑ'ΛΑΙΟΝ Θ'.

## ΠΕΡΙ' ΤΗ'Σ ἹΕΡΩΣΥ'ΝΗΣ.

§. 273.

Ἡ Ἱερωσύνη καὶ οἱ κατ' αὐτὴν βαθμοὶ ἐν τῇ Παλαιᾷ Γραφῇ διετάχθησαν. Καὶ τȣ̃ Εὐαγγελικȣ̃ δὲ κηρύγματος ὁ Σωτὴρ ἐναρχόμενος, τοὺς αὐτȣ̃ δώδεκα Μαθητὰς μετακέκληται, ἐν πάσαις πόλεσί τε καὶ χώραις κήρυκας αὐτȣ̀ς ἐσομένους· οὓς δὴ καὶ Ἀποςόλȣς ἔδωκεν ὀνομάζεσθαι· ὅπερ ἐςὶν ἀπεςαλμένȣς. Ἔπειτα δὲ χρείας ἀπαιτȣ́σης, ἔτι καὶ ἄλλȣς ἑβδομήκοντα, ἐκ τῶν αὐτȣ̃ τῇ Διδασκαλίᾳ παρηκολȣθηκότων προσεξελέξατο· καὶ τȣ́τοις τὸ αὐτὸ ἐπισυςησάμενος ἔργον, ἐνετείλατο τὰ ἑξῆς: Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτȣ̀ς εἰς τὸ ὄνομα τȣ̃ Πατρὸς, καὶ τȣ̃ Υἱȣ̃, καὶ τȣ̃ Ἁγίȣ Πνεύματος· διδάσκοντες αὐτȣ̀ς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. Καὶ ἰδȣ̀ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τȣ̃ αἰῶνος. (Ματθ. ΚΗ. 16. 20.) -- ὁ ἀκȣ́ων ὑμῶν, ἐμȣ̃ ἀκȣ́ει κτ: Λȣκ: Ι'. 16.) -- Ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνȣς καινῆς Διαθήκης. (Β'. Κορινθ: Γ. 6. --

Καὶ

Καὶ αὐτὸς ἔδωκε τὲς μὲν Ἀποςόλες, τὲς δὲ Προφήτας, κξ. (Ἐφεσ: Δ. 11.)

§. 274.

Τοιγαρῦν αὐτοῖς ἐνετείλατο κηρύσσειν τὸ Εὐαγγέλιον. Ἐπεὶ δὲ τὸ τοιόνδε κήρυγμα, πρὸς τιὼ ἐν τῇ Ἐκκλησίᾳ ἐπιςροφιὼ καὶ ὑποδοχιὼ Ἰεδαίων τε καὶ Ἐθνικῶν ἀφεώρα, ἐκέλευσεν αὐτὲς εἰς τὸ ὄνομα τῦ Πατρὸς, καὶ τῦ Υἱῦ, καὶ τῦ Ἁγίε Πνεύματος βαπτίζειν (Ματθ: ΚΗ΄. 19.) Ὅτι δὲ καὶ τὲς ἁμαρτωλὲς αὐτὸς σώσων ἦλθε, δέδωκεν αὐτοῖς καὶ τιὼ ἐξεσίαν τῦ δεσμεῖν τε καὶ λύειν, προσεπαγγειλάμενος, ὅσα μὲν ἂν αυτοὶ ἐπὶ τῆς γῆς δήσειαν, ἐκεῖνα δεδεμένα ἔσεσθαι αὐτὰ κἀν τῷ ἐρανῷ· ὅσαδ᾽ ἂν περ λύσειαν, λελυμένα. (Ματθ: ΙΗ΄ 18.) Ἐπὶ δὲ τέτοις καὶ τὸν Μυςικὸν διέταξε Δεῖπνον, τὸν ἄχρι τῆς Δευτέρας ἐσομένης αὐτῦ Παρεσίας τελεῖσθαι μέλλοντα. Τῦτο ποιεῖν ἐπεντειλάμενος, ἄχρις ἂν ἔλθοι. (Λεκ: ΚΒ΄. 19, Καὶ Α΄ Κορινθ: ΙΑ΄. 26. Προσεκαλέσατο δὲ αὐτὲς δημοσίᾳ ἐπὶ τὸ μέγα τῦτο ἐπάγγελμα, ἐνώπιον τῦ λαῦ, ἐξ ῦ αὐτὲς ἐξελέξατο, καὶ τιὼ χάριν αὐτοῖς ἐναπέςειλε διὰ τῆς εὐλογίας

γίας ἐπασφαλίσας. Οἱ δὲ τὰ διαταχθέντα σφίσι καὶ παραδοθέντα ἐντελῶς διαπράττοντες, τοῦ Ἰούδα παρατραπέντος, Ματθίαν ἐξελέξαντο ἀντ' ἐκείνου, ἕνα τῶν ἑβδομήκοντα Ἀποστόλων τυγχάνοντα. (Πράξ. Α'. 23—26.)

§. 275.

Πληθυνομένων οὖν τῶν εἰς Χριστὸν πιστευόντων, ἐπάναγκες ἦν καὶ τοὺς Πρεσβυτέρους πληθύνεσθαι· ἡ δὲ ἐπὶ τῶν Πρεσβυτέρων ἐφορία τοῖς Ἀποστόλοις ἦν διαφέρουσα, ἐν ᾗπερ ἂν τούτων ἕκαστος Πόλει καὶ Χώρᾳ ἐκπληρῶν διετέλει τὸ κήρυγμα. Καί τοι δὲ τὸ Ἐπίσκοπος ὄνομα (ὃ τὸν Ἔφορον, ἢ Ἐπιστάτην σημαίνει.) καὶ τοῖς Πρεσβυτέροις τὸ τηνικαῦτα κοινῇ ἐπελέγετο· ἐπείγε μὴν τὸ τοῦ ἐν αὐτοῖς προέχοντος ἔργον, οὐ μόνην τὴν περὶ τοὺς χριστιανοὺς ἁπλῶς ἐπιμέλειαν, ἀλλὰ καὶ τὴν ἐπὶ τῶν Πρεσβυτέρων αὐτῶν ἐφορίαν τε καὶ ἐπιστασίαν προσεναπῄτει, διὰ τοῦτο τοῖς οὕτω προϊσταμένοις μόνοις ἡ τοῦ Ἐπισκόπου κλῆσις καθυπελείφθη. Ἔνθεν τοι καὶ ἐν τῷ εἰς Ἀντιόχειαν μετὰ τῶν ἀμφ' αὐτὸν ἐπανιέναι ὁ Παῦλος ἐξ Ἰκονίου, τὰς πόλεις διερχόμενος Λύστραν, καὶ Δέρβην, καὶ τὴν περίχωρον,

ρίχωρον, ὐχ ὅπως εὐαγγελιζόμενοι ἐν αὐταῖς ἦσαν, ἀλλὰ καὶ Πρεσβυτέρυς κατ' Ἐκκλησίαν χειροτονῦντες. (Πράξ: ΙΔ. 7. καὶ 23.) Καὶ τὴν Πισιδίαν δὲ ὡσαύτως διελθόντες, καὶ Παμφυλίαν, καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, ἄχρις Ἀτταλείας, ὅθεν κατέπλευσαν εἰς Ἀντιόχειαν. (Αὐτ 24. 25. 26.) Ἀλλὰ καὶ ἐπὶ τῆς Ἱερυσαλὴμ σπεύδων, καὶ τὴν Μίλητον καταλαβὼν ὁ Ἀπόστολος, πέμψας ἐκεῖθεν εἰς Ἔφεσον μετεκαλέσατο τὺς Πρεσβυτέρυς τῆς Ἐκκλησίας. (Πράξ: Κεφ: Κ'. 17.) ἐντελλόμενος προσέχειν ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ αὐτὺς ἔθετο τὸ Πνεῦμα τὸ Ἅγιον Ἐπισκόπυς, ποιμαίνειν τὴν Ἐκκλησίαν τῦ Θεῦ, ἣν περιεποιήσατο διὰ τῦ ἰδίυ αἵματος. (Αὐτ: Κ'. 28.) Ἔπειτα καὶ δι ἐπισολῶν, ἀπὸ μὲν Λαοδικείας τὴν Α'. ἀπὸ δὲ Ῥώμης τὴν Β'. πρὸς Τιμόθεον γράφων, τὴν Ἐφεσίων ἐπισωίσῃ αὐτῷ Ἐκκλησίαν, ἧς πρῶτον κεχειροτονήκει Ἐπίσκοπον. (Α. Τιμόθ: Κεφ: Ε'. 22. Καὶ Β'. πρὸς Τιμ: Κεφ: Β'. 2.) Γράφων δὲ ἀπὸ τῆς ἐν Μακεδονίᾳ Νικοπόλεως καὶ Τίτῳ, ἐπισωίσῃ ὁμοίως τὴν Ἐκκλησίαν τὴν ἐν τῇ Κρήτῃ, ἐν ᾗ αὐτὸν, φησὶ, καταλελοιπέναι, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταςήσῃ κατὰ πόλιν Πρεσβυτέρυς, ὕςπερ φθάσας αὐτῷ διετάξατο. (Πρὸς Τίτ: Κεφ: Α'. 5.) §. 276.

§. 276.

Καὶ οἱ ἐπὶ τοῦ πρώτου δὲ Ἐκκλησιαστικοῦ αἰῶνος Ἅγιοι, οἱ τοὺς Ἀποστόλους διαδεξάμενοι, περὶ τῶν Ἐπισκόπων, τῶν ὑπὲρ τοὺς ἁπλῶς Πρεσβυτέρους τεταγμένων, γράφοντες μαρτυροῦσιν, ὥς οἱ θεῖοι Ἰγνάτιός τε, καὶ Κλήμης, καὶ ἄλλοι.

§. 277.

Αὐξανομένης δὲ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ τῶν ἐν Ἐπισκόπου τάξει ἐπιπολλαπλασιαζομένων, ἐφόρους ἔτι καὶ ἐπὶ τούτων ἐδέησε τινὰς προταχθῆναι, οἳ δὴ καὶ προσείρηνται Ἀρχιεπίσκοποι. Τῶν οὖν Ἀποστολικῶν Κανόνων ὁ ΛΔ. καὶ τῆς ἐν Νικαίᾳ Συνόδου ὁ ς΄., ἐκύρωσαν, τὴν μὲν τοῦ Ἀλεξανδρείας ὑπεροχὴν ἐπί τε Αἰγύπτου, καὶ Λιβύας, καὶ Πενταπόλεως· τὴν δὲ τοῦ Ῥωμαίων Ἐπισκόπου, ἐπὶ τοὺς ὑπὸ τῇ Ῥώμῃ τεταγμένους. Ἔπειτα δὲ καὶ τὸν Ἀντιοχείας, καὶ ἄλλους προέταξαν, ὡς τούτων ἄνευ τῆς ἐπιδοκιμασίας τε καὶ ἐπικυρώσεως, Ἐπίσκοπον μηδένα τῶν ὑπ' αὐτοῖς τελούντων θέμις εἶναι προάγεσθαι. περὶ οὗ καὶ Ἐπιφάνιος (Αἱρέσ: ΠΗ΄.) καὶ Ἀθανάσιος περὶ τοῦ Διουσίου διείληφεν. Οἱ δ' αὐτοὶ οὗτοι καὶ Μητροπολῖται ὀνομάζεσθαι ἔλαχον, ἅτε δὴ τῶν πρωτευουσῶν

σῶν Ἐπίσκοποι Πόλεων, αἱ Μητροπόλεις τῶν Ἐπαρχιῶν ἐκαλοῦντο: οἷον εἰπεῖν Γενέτειραι Πόλεων.

§. 278.

Τὸ Πατριάρχου δὲ ὄνομα τοῖς πρωτοπλάσταις τε καὶ πρωτογόνοις προεπιτεθὲν ἔφθη ἐπώνυμον. Ἀδριανὸς δὲ ὁ Καῖσαρ, τῷ Ἀρχιερεῖ Ἰουδαίων ἐπιστέλλων αὐτὸ ἐπέγραφεν. Ὁ δὲ θεῖος Ἱερώνυμος (Ἐν Ἐπισ: ΝΔ´.) Τοὺς Μοντανιστὰς, τοὺς ἐν τῷ Δευτέρῳ Αἰῶνι ἀκμάζοντας, τὸν πρῶτον ἐν τοῖς παρ᾽ αὐτοῖς Ἐπισκόποις, Πατριάρχην ἱστόρησε προσειρηκέναι. Ἐξ ὧν δῆλον, τὴν τοῦ Πατριάρχου προσηγορίαν ἐν χρήσει γενέσθαι, πρὶν ἢ ταύτην ἡ Ἐκκλησία τῶν ὀρθοδόξων ἀπονεῖμαι τοῖς τῶν ἐν αὐτῇ Ἐπισκόπων προέχουσι.

§. 279.

Τῆς τοίνυν Ἐκκλησίας εἰς μῆκος τε καὶ πλάτος ἐπιπροσεπεκτεινομένης, διά τινας παραλλαγὰς πολλαχοῦ παρεισιούσας, καὶ μάλιστα διὰ τὰς ἐπιπολαζούσας Αἱρέσεις, ἔδοξε δὴ τοῖς ὀρθοδόξοις Βασιλεῦσιν, ἐπ᾽ ἐνίων τοῦ ἰδίου Κράτους μερῶν, (ἅπερ οἷον Διωκεσείας τινὰς δεῖν ἐνόμιζον

διαςέλλεσθαι·) Ἐπισκόπȣς ἐπικαθιςᾷν ἐν ταῖς πρωτευȣ́σαις τῶν Πόλεων, καὶ τȣ́τȣς Πατριάρχας ἀποκαλεῖν, ὡς ȣ̓ μόνον Ἐπισκόπων τε καὶ Ἀρχιεπισκόπων, ἀλλὰ καὶ τῶν Μητροπολιτῶν αὐτῶν ὑπερέχοντας. Ἀλλ' ἵνα γȣ̃ν ἐπὶ τῆς καθόλȣ Ἐκκλησίας τῶν μερῶν ἁπάντων ἔμπεδα μένῃ τὰ τῆς ἑνώσεως τῆς πρὸς ἄλληλα: ϗ αὐτȣ̀ς ἔτι τȣ̀ς Πατριάρχας, τῇ τῶν Συνόδων ψήφῳ ἔγνωσαν χρῆναι καθυπολάξαι. Ταῦτα δὴ πρῶτον ἐγένετο (καθάπερ Ἐπιφάνιος μαρτυρεῖ, Αἱρέσ: ΞΗ'. καὶ ΞΘ.) τῆς τετάρτης τῶν ἀπὸ Χριςȣ̃ Ἑκατονταετηρίδων ἐναρχομένης. Ἐπετέθη δὲ πρὸ τῶν ἄλλων ἡ κλῆσις τοῖς Ἀρχιεπισκόποις, τῷ τε Ἀλεξανδρείας, καὶ τῷ τῆς παλαιᾶς Ῥώμης.

§. 280.

Ἀλλ' ἐφ' ᾧ δὴ, καὶ τὰ λοιπὰ τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀξιωμάτων γνώριμα ἡμῖν καταςῆναι, ἐπὶ τȣ̀ς Ἀποςολικȣ̀ς ἐπανιτέον χρόνȣς. Πάσης γὰρ τὸ τηνικαῦτα τῆς Ἐκκλησιαςικῆς Διακονίας ἐπὶ τὴν Ἀποςολικὴν ἀξίαν ἀναγομένης, ἀγανάκτησίς τις ἐνανεφύη τοῖς ἐξ Ἐθνῶν Προσηλύτοις, ὡς δῆθεν ἐπὶ τῆς οἰκονο-

μȣμένης

μεμένης τραπέζης τῶν ἐν αὐτοῖς χηρευεσῶν παραθεωρεμένων. Οἱ τοίνυν Ἀπόςολοι, ὡς ἂν μὴ τῇ περὶ τὰ τοιαῦτα σπεδῇ τε καὶ ἐπιμελείᾳ τῆς προσευχῆς καὶ τῆς τε θεία λόγε ἀπαχολοῖντο διακονίας, ἐκλέξαντες ἐπὶ τῷ ἔργῳ ἐκείνῳ Ἄνδρας πίςεώς τε καὶ Πνεύματος Ἁγίε πλήρεις, διὰ χειροθεσίας αὐτὲς καθιέρωσαν· οἵπερ ὕςερον, καὶ ὡς ὑπεργοιῶντες τοῖς πρεσβυτέροις ἐπὶ τῶν ἱεροτελεςιῶν ὑπωνέχθησαν.

§. 281.

Ἀλλ' ἐπειδὴ γὰρ καὶ τέτων ἑξῆς πεπλήθυνται τὰ διακονήματα, τέτε χάριν ἐν ταῖς τῶν Ἐκκλησιῶν πρωτευέσαις ἐπικατέςησαν οἱ Ἐπίσκοποι Ὑποδιακόνες, καὶ Ἀναγνώςας, καὶ ψάλτας, καὶ λαμπαδέχες, καὶ πυλωρὲς, περὶ ὧν ἐν τοῖς ἐφεξῆς τμήμασι δηλωθήσεται.

§. 282.

Καὶ αἱ τῶν Ἐπισκόπων δὲ οἰκίδιοι περιςάσεις καὶ χρεῖαι, καὶ ἄλλας προσέτι ἐπιςατέντων ἀπήτεν τάξεις, περὶ ὧν ὁ Ἱερὸς διέξεισι Συμεὼν ὁ Θεσσαλονίκης. Τοιέτοι δὲ: Ὁ Μέγας Οἰκονόμος:

(Κεφ:

(Κεφ: 241) ὁ Μέγας Σακελλάριος, καὶ ὁ Μεγας Σκευοφύλαξ, Κεφ. 242. Ὁ Χαρτοφύλαξ, καὶ ὁ Σακελλάριος, (Κεφ: 243.) ὁ Πρωτέκδικος, (Κεφ: 144.) ὁ Κριτὴς, (Κεφ: 147.) Ὁ Πρωτοπρεσβύτερος, (Κεφ: 148). Ὁ Πνευματικὸς Πατὴρ, (Κεφ. 349.) καὶ ὁ Ἀρχιδιάκονος.

§. 283.

Ἧγε μιὼ Ἐκκλησία, Πέντε δὴ τάξεις, ὡς ἰδίᾳ προσανηκέσας αὐτῇ ὀρθῶς διατάσσει. Ἐισὶ δὲ οἱ ἑξῆς. α) ὁ Λαμπαδοῦχος, ἢ Κηροφόρος, καὶ ὁ Ἀναγνώστης, καὶ ὁ ψάλτης· β) Ὁ Ὑποδιάκονος. γ) ὁ Διάκονος. δ.) ὁ Πρεσβύτερος. ε) ὁ Ἐπίσκοπος.

# ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

## ΠΕΡΙ ΤΗΣ ΧΕΙΡΟΤΟΝΙΑΣ, ΗΤΟΙ ΤΗΣ ΕΠ' ΑΥΤΩΝ ΤΟΥΤΩΝ ΧΕΙΡΟΘΕΣΙΑΣ.

### 1. Περὶ τοῦ Λαμπαδούχου.

§. 284.

Μαρτυρίαν ἔχων ὁ Ἐπίσκοπος περὶ τῆς ἀνεπιλήπτου διαγωγῆς τοῦ ἐκλέγεσθαι μέλλοντος, παραστῆσαι αὐτὸν ἐν τῇ Ἐκκλησίᾳ διακελεύεται. Τούτου δ' ἐν μέσῳ τοῦ Ναοῦ προσαχθέντος, σταυροειδῶς αὐτοῦ τὴν κεφαλὴν ὁ Ἐπίσκοπος σφραγίζει· ἐπιτίθησί τε τὴν χεῖρα, καὶ Εὐχὴν ἐπαναγινώσκει τὴν ἐφαρμόζουσαν. Ἔπειτα κατὰ σχῆμα σταυροῦ τὴν κεφαλὴν αὐτοῦ κείρει, τὸν Ἁγιασμὸν αὐτῷ διὰ τούτου ὑποσημαίνων. Αἱ γὰρ τρίχες, ἅτε δὴ κόσμος οὖσαι τοῦ ὅλου σώματος, οἷόν τινες ἀπαρχαὶ τῷ Θεῷ προσάγονται. (Συμ: ὁ Θεσσαλονὶ: Κεφαλ: 158.) Ἐνδύει δ' αὐτὸν καὶ μικρὸν Φελόνιον, ἐσθῆτα τῷ λαμπαδουχοῦντι προσήκουσαν.

## Ω. ΠΕΡΙ' ἈΝΑΓΝΩ'ΣΤΟΥ ΚΑΙ' ΨΑ'ΛΤΟΥ

§. 285.

Ὁ Ἀρχιερεὺς ἔχων μαρτυρίαν περὶ τῆς ἀμώμȣ ἀναςροφῆς τȣ̃ εἰς Ἀναγνώςlω προβαλλομένȣ, καὶ τlὼ τȣ́τȣ περὶ τὸ ἀναγινώσκειν τε καὶ Ψάλλειν δοκιμότητα ἐγκρίνας, παραςῆσαι αὐτὸν ἐπιτάσσει· καὶ προσενεχθέντα τȣ̃ Ναȣ̃ μέσον, ἐν περιβολῇ λαμπαδȣ́χȣ, ἐπισφραγίσας τlὼ κεφαλlὼ, καὶ τlὼ χεῖρα ἐπιθεὶς, ἀναγινώσκει τlὼ Εὐχlὼ· Μεθ' ἣν ἀναπτύξας τlὼ τῶν Πράξεων τῶν Ἀποςολικῶν Βίβλον, ἐξ αὐτῆς ποσὸν ὑποβάλλει αὐτῷ ἀναγνῶναι· δηλῶν διὰ τȣ́του τῇ Ἐκκλησίᾳ, δεξιῶς ἔχειν τὸν προχειριθέντα πρὸς τὸ ἐγχείρημα. Καὶ τὸ ςιχάριον δὲ περιδυθέντι αὐτῷ προςίθησι λέγων, ἐν ᾗ ποτε ἄρα τάξει αὐτȣ̃ τὸ ἔργον προσδιορίζεται. Ὁ γάρ τοι θεῖος Ἀμβρόσιος, ἐν τῷ περὶ τῆς τȣ̃ καθιερȣμένȣ ἀξίας. (Κεφ: Β'.) διαλεγόμενος: δίκαιον εἶναι (φησι) πρῶτον μὲν ἐπιγιγνώσκεσθαι αὐτῷ τὸ ἱεροπρεπὲς τȣ̃ ἀξιώματος, ἔπειτα δὲ καὶ διατηρεῖσθαι. Ὁ δὲ Κυπριανὸς (ἐν Ἐπις: ΛΘ.) Κελέρινος (φησὶν) ὁ ἀδελφὸς ἡμῶν, ἀρετῇ τε καὶ ἤθων κοσμιότητι ἐπίσημος

ὢν

ὢν, ἐ κατ᾽ ἐκλογὴν ἀνθρωπίνην· ἀλλ᾽ ἐξ εὐδοκίας θείας τῷ Κλήρῳ τῷ καθ᾽ ἡμᾶς ἐγκατείλεκται. Καὶ ἐν Ἐπις: Α΄. Οἱ ἐν τῇ τȣ̃ Θεȣ̃ Ἐκκλησίᾳ, διὰ τȣ̃ κατὰ τὸν κλῆρον Ἁγιασμȣ̃ προαγόμενοι, μηδενὸς, ἕνεκα τῆς θείας ἀφαιρείσθωσαν θεραπείας. Ὁ δὲ Τερτυλλιανὸς (ἐν τῷ περὶ τῆς Ἀνας άσεως:) Ἡ σάρξ ἁγιάζεται, ἵνα, ἡ ψυχὴ ἐλλαμφθῇ τῷ Πνεύματι.

## 3. ΠΕΡΙ' ὙΠΟΔΙΑΚΟ'ΝΟΥ.

### §. 286.

Πρὸ τῆς Λειτȣργίας προσάγεται, ὁ εἷς Ἀναγνώςην ἤδη προηγμένος, ἐν ςιχαρίῳ, καὶ λαβὼν εὐλογίαν παρὰ τȣ̃ Ἐπισκόπȣ, περιζώννυται ςαυροειδῶς τὸ Ὡράριον. Ὁ δὲ Ἐπίσκοπος σφραγίσας αὐτῷ ςαυροτύπως τὴν κεφαλὴν τρὶς, λέγει τὴν Εὐχὴν, ἐπιθεὶς τῷ ἀριςερῷ αὐτȣ̃ ὤμῳ τὸ Χειρόμακτρον. Ὁ δὲ χειροτονηθεὶς λαβὼν τὸ χέρνιβον, βάλλει ὕδωρ εἰς τὰς χεῖρας (τȣ̃ χειροτονήσαντος) ὥςε νίψασθαι. Τό δε γὰρ πρῶτον τῷ Ὑποδιακόνῳ καθῆκον ἐςὶ τὸ διακόνημα· καὶ λαμβάνων εὐλογίαν ἀπέρχεται. Ἡνίκα δ᾽ εἰσάγεται ὁ χειροτονεῖσθαι μέλλων Διάκονος, τότε καὶ ὁ Ὑποδιάκονος τῇ Ἱερᾷ πρόσεισι Τραπέζῃ, καὶ τυχὼν εὐλογία

πρὸς τȣ̃ Ἐπισκόπȣ· ἵςαται ὑποχωρήσας ἐν τῇ τάξει τῶν Ὑποδιακόνων. (Ἀπος: Διατάξ: Βιβλ: Η΄. Κεφ: 12) Ὅτε Ὑποδιάκονον χειροτονεῖς, Ἐπίσκοπε, χεῖρας αὐτῷ ἐπιτίθεσο. (Ὅρα καὶ τῆς ἐν Καθαργ: Δ΄. Συνόδȣ Καν: Ε΄. Καὶ Κυπριαν: Ἐπις: Η΄. 20. 22. Καὶ Εὐσέβ: ἐν Βιβλ: ς΄. Κεφαλ: ΜΓ΄.)

## 4. ΠΕΡΙ' ΔΙΑΚΟΝΙ'ΣΣΗΣ.

### §. 287.

Ἐν τῇ Ἐκκλησίᾳ τὸ πάλαι καὶ Διακονίσσας ἔθιςο χειροτονεῖσθαι. Ἐφ᾽ ᾧ γȣ̃ν, μηδὲ τὴν Ἱεροτελεςίαν ταύτην, παντελεῖ λήθῃ παραδοθῆναι, ἐκ πολλȣ̃ ἤδη καταργηθεῖσαν, καὶ μονονȣχὶ τῆς μνήμης γενομένην ἐξίτηλον: ἐξ ὑπομνημάτων ἀρχαιων, τῶν εἰσέτι παρὰ τοῖς Ἀνατολικοῖς διασωζομένων, ἀναγράψαι ὧδε ἔδοξε περιςατικώτερον, ὅπως αὐτὴ διεπράττετο.

Ἐν ᾧ τελεῖται ἡ Λειτȣργία, καθ᾽ ὃν καιρὸν προσάγεται καὶ ὁ Διάκονος, κατ᾽ αὐτὸν εἰσάγεται καὶ ἡ ἐπὶ τὴν Διακονίαν προαγομένη· ȣ̓́κȣν γόνατα, ȣ̓δὲ κεφαλὴν κάμπτȣσα πρὸ τȣ̃ Βήματος, ἀλλ᾽ ἢ μόνην ἐνώπιον τȣ̃ Ἐπισκόπȣ

τὴν κεφαλὴν ὑποκλίνουσα. (ἐν ταῖς Ἀποστολ: Διατάξ. Βιβλ. ϛ. Κεφ: ΙΖ΄.) Ἐκλεγέσθω δὲ ἡ Διάκονος παρθένος οὖσα ἀκήρατος· εἰ δὲ μή, ἀλλὰ γοῦν Χηρεύουσα, ὑφ᾽ ἑνὶ ἀνδρὶ γενομένη, πιστὴ καὶ τιμία. (Σύνοδ. ἡ ἐν Χαλκηδ: Καν: ΙΕ΄.) Ἦν γὰρ ἄρα ἡ τῶν Διακονισσῶν τάξις ἀναγκαία τῇ Ἐκκλησίᾳ· (Ἐπιφάν: ἐν τῷ Γ. Βιβλ: Αἱρέσ: ΝΘ) καὶ Ἱππόλυτ: ἐν ταῖς Ἀποστολικαῖς Παραδόσεσι. Γ΄. καὶ Η΄.)

Ὁ τοίνυν Ἐπίσκοπος, κλινούσης αὐτῆς μόνην, ὡς εἴρηται, τὴν κεφαλήν, ἐπιτίθησι τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτήν, καὶ ποιεῖ σταυροὺς τρεῖς, ἐκφωνῶν τό: Ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα, καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, προχειρίζεται (τὴν Δ.) εἰς Διακόνισσαν. Εὐξώμεθα οὖν ὑπὲρ αὐτῆς, ἵνα ἔλθῃ ἐπ᾽ αὐτὴν ἡ Χάρις τοῦ Παναγίου Πνεύματος.

Ὁ Χορὸς ψάλλει: Κύριε ἐλέησον.

Ὁ δὲ Ἐπίσκοπος ἐν τῷ τοῦτο ψάλλεσθαι ἀναγινώσκει τὴν Εὐχήν: „Ὁ Θεὸς „ὁ Ἅγιος καὶ Παντοδύναμος, ὁ διὰ τῆς „ἐκ Παρθένου κατὰ σάρκα γεννήσεως τοῦ „μονογενοῦς Σου Υἱοῦ καὶ Θεοῦ ἡμῶν ἁγιά-„σας τὸ θῆλυ, καὶ οὐκ ἀνδράσι μόνον, „ἀλλὰ καὶ γυναιξὶ δωρησάμενος τὴν χά-

„ριν

„ριν, καὶ τὴν ἐπιφοίτησιν τȣ̃ Ἁγίȣ Σȣ
„Πνεύματος· Αὐτὸς καὶ νῦν Δέσποτα ἔπι-
„δε ἐπὶ τὴν δȣ́λην Σȣ ταύτην καὶ προσ-
„κάλεσαι αὐτὴν εἰς τὸ ἔργον τῆς διακο-
„νίας Σȣ· καὶ κατάπεμψον αὐτῇ τὴν πλȣ-
„σίαν Σȣ δωρεὰν τȣ̃ Ἁγίȣ Σȣ Πνεύμα-
„τος. Διαφύλαξον αὐτὴν ἐν ὀρθοδόξῳ
„πίστει, ἐν ἀμέμπτῳ πολιτείᾳ, κατὰ τὸ
„Σοὶ εὐάρεστον, τὴν ἑαυτῆς λειτȣργίαν διὰ
„παντὸς ἐκπληρῶσαι. Ὅτι πρέπει Σοὶ
„πᾶσα Δόξα, τιμὴ, καὶ προσκύνησις τῷ
„Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύ-
„ματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τȣ̀ς αἰῶνας
„τῶν αἰώνων.

Τȣ̃ δὲ Διακόνȣ ἀποκριναμένȣ Ἀμήν. ἑνὸς δέ τινος τῶν Διακόνων ποιȣ̃ντος τὴν συνήθη ἱκεσίαν: Ἐν εἰρήνῃ τȣ̃ Κυρίȣ δεηθῶμεν, καὶ τὰ λοιπὰ, τὰ καὶ ἐπὶ τῆς τȣ̃ Διακόνου χειροτονίας λεγόμενα: ὁ Ἐπίσκοπος ἔχων τὴν χεῖρα ἐπάνω τῆς χειροτονηθείσης, λέγει τὴν Εὐχήν:

„Δέσποτα Κύριε, ὁ μηδὲ γυναῖκας
„ἀναθεμένας ἑαυτὰς, καὶ βȣληθείσας
„καθ᾽ ὃ προσήκει λειτȣργεῖν τοῖς Ἁγίοις
„Σȣ οἴκοις ἀποβαλλόμενος, ἀλλὰ ταύτας
„ἐν τάξει λειτȣργῶν προσδεξάμενος, δώ-
„ρησαι τὴν χάριν τȣ̃ Ἁγίȣ Σȣ Πνεύμα-
„τος,

„τος καὶ τῇ βȣλῇ Σȣ ταύτῃ, βȣληθείσῃ
„ἀναθεῖναι Σοὶ ἑαυτὴν, καὶ τῆς Σῆς δια-
„κονίας ἀποπληρῶσαι τὴν χρείαν, ὡς
„ἔδωκας τὴν χάριν τῆς διακονίας Σȣ Φοί-
„βῃ, ἣν ἐκάλεσας εἰς τὸ ἔργον τῆς λει-
„τȣργίας ταύτης. Παράσχȣ δὲ αὐτῇ ὁ
„Θεὸς ἀκατακρίτως προσκαρτερεῖν τοῖς
„Ἁγίοις Ναοῖς Σȣ· ἐπιμελεῖσθαι τῆς οἰ-
„κείας πολιτείας, σωφροσύνης δὲ μάλιστα·
„καὶ τελείαν ἀνάδειξον δȣλην Σȣ· ἵνα καὶ
„αὐτὴ παρασᾶσα τῷ Βήματί Σȣ, ἄξιον
„τῆς ἀγαθῆς πολιτείας λήψηται τὸν μισ-
„θόν· Ἐλέει καὶ Φιλανθρωπίᾳ τȣ̃ Μονο-
„γενȣ̃ς Σȣ Υἱȣ̃, σὺν τῷ παναγίῳ, καὶ
„ἀγαθῷ, καὶ ζωοποιῷ Σȣ Πνεύματι κτ:

Καὶ μετὰ τὸ Ἀμὴν, περιτίθησι τῷ Τραχήλῳ αὐτῆς, ὑποκάτωθεν τȣ̃ Μαφορίȣ, τὸ Διακονικὸν Ὠράριον, φέρων ἔμπροσθεν τὰς δύο ἀρχάς.

Ἔπειτα ὁ Διάκονος λέγει: Πάντων τῶν Ἁγίων μνημονεύσαντες κτ:

Μεταλαμβάνει δὲ καὶ αὐτὴ τῶν Ἁγίων Μυστηρίων μετὰ τȣ̀ς Διακόνȣς ὁμοίως, καθάπερ καὶ οἱ ἄλλοι τῶν Ὑπȣργῶν: Μεταλαβȣ́σῃ δὲ, ἐπιδίδωσιν αὐτῇ ὁ Ἐπίσκοπος τὸ Ἅγιον Ποτήριον, ὅπερ

δεξα-

δεξαμένη, ἐν τῇ Ἁγίᾳ τραπέζῃ ἀποτίθησι.

5. ΠΕΡΙ ΔΙΑΚΟΝΟΥ καὶ ΠΡΕΣΒΥΤΕΡΟΥ.

§. 288.

Ὁ μέλλων Χειροτονεῖσθαι εἰς Διάκονον, ἐξ οὗ ἵςαται τόπου, πρὸς τὰς θύρας τοῦ Ἱεροῦ προσάγεται Βήματος, ὑπὸ τῶν Διακόνων τῶν ὁμοταγῶν αὐτῷ. Ὁ δὲ εἰς Πρεσβύτερον, προσάγεται μὲν ὑπὸ Διακόνων, προσδέχεται δὲ πρὸς ταῖς θύραις ὑπὸ τῶν Πρεσβυτέρων: καὶ προσκυνήσας τὸν Ἐπίσκοπον. ἐν τῷ δεξιῷ μέρει τῆς Ἁγίας Τραπέζης καθήμενον, ἐκεῖ παρ᾽ αὐτοῦ τὴν εὐλογίαν λαμβάνει· καὶ περὶ τὴν Τράπεζαν τρὶς περιάγεται κύκλῳ, ταύτης τὰ πέρατα ἀσπαζόμενος.

Ἐρώτησις

Τὶ δ᾽ ὅτι ἐπὶ κεφαλῆς τοῦ εἰς Πρεσβύτερον Χειροτονηθησομένου κάλυμμα ἐπιτίθεται;

Ἀπόκρισις

Ὅτι, ὡς ἑρμηνεύει Συμεὼν ὁ Θεσσαλονίκης (ἐν Κεφαλ: ΡΟΘ.) τῷ Ἱεράρχῃ

Ἱερουργοῦντι συνυπουργῶν, ὁ μέλλων Χειροτονεῖσθαι, τὴν Διακόνου τάξιν ἐπέχει. καὶ ἔδει μὲν αὐτὸν, καὶ τὸ Εὐαγγέλιον τηνικαῦτα ἀναγινώσκειν, καὶ τὸν θεῖον Ἄρτον, ἐν τῇ μεγάλῃ εἰσόδῳ συγκεκαλυμμένον ἐπὶ κεφαλῆς φέρειν, καὶ τὰ Διακονικὰ ἐκτελεῖν, ἕως οὗ ἐπὶ τῆς Τραπέζης ἀποτεθῇ τὰ δῶρα σὺν τῷ καλύμματι· καὶ τότε ὁ Ἐπίσκοπος κάθηται. Δῆλον γὰρ ὅτι τῶν πρωτείων ἀξιοῦσθαι δέον τὸν εἰς τὴν Ἱερωσύνην προαχθησόμενον. Ἐπεὶ δ' οὐ πάντες οἱ χειροτονούμενοι πρὸς τὰ εἰρημένα δεξιῶς ἔχουσι, διατοῦτο ἀντὶ τοῦ μετὰ τοῦ καλύμματος Δίσκου, τῷ Χειροτονηθησομένῳ ὁ Ἀὴρ ἐπιτίθεται.

§. 289.

Ὁ γύρος, τὴν ἀδιάζευκτον μετὰ τῆς Ἐκκλησίας δηλοῖ συμπεριπλοκήν. Ὡς γὰρ ὁ κύκλος πέρατος ἐστὶν ἀμοιρῶν, οὕτως ὁ περικυκλῶν μαρτύρεται, τὸ συνδεῖσθαι τῇ Ἐκκλησίᾳ διαμπερὲς, καὶ τὸ στερρῶς προθέσθαι τὴν εὐχὴν ἐκπληρῶσαι τοῦ ἐπαγγέλματος ὃ προείλετο.

§. 290.

Τὸ δὲ τρισσὸν τῆς περιόδου, τὸ τέλειον τῆς τῶν εὐχῶν προσεμπεδοῖ ἐπιβεβαιώ-

βεβαιώσεως· καὶ ὡς ἐδέποτε αὐτὸς ἑκὼν εἶναι παραιτήσεται τὴν ἐπαγγελίαν, ἀλλ' ὅτι, ἅπαξ ἑαυτὸν ἀνέθετο τῇ τῦ Θεῦ διακονίᾳ, οἱονεὶ μάρτυρα τῦ τὰς ἰδίας εὐχὰς ἀτρεκῶς ἀποδώσειν, αὐτὸν ἵςησι, τὸν ἑνιαῖον καὶ τρισυπόςατον.

§. 291.

Ἐπὶ μὲν οὖν τῆς πρώτης περιελεύσεως, ψάλλεται τὸ Τροπάριον: Ἅγιοι Μάρτυρες κτ: δι' οὗ δηλῦται, ὡς ὁ Χειροτονύμενος, ἐν εὐκοσμίᾳ τε καὶ εὐθύτητι μετὰ πίςεως τὸν τῦ βίυ δρόμον τηρήσας, εἰκότως ὑπὸ τῆς Ἐκκλησίας ςεφανῦται.

§. 292.

Ἐπὶ δὲ τῆς δευτέρας, τό: Δόξα Σοι Χριςὲ ὁ Θεὸς, κτ: δι' ὗ τῷ χορῷ τῶν Ἁγίων τάττεται ἐναρίθμιος· καὶ τὸ ἔργον ἀναδέχεται τῦ Εὐαγγελικῦ κηρύγματος, ὅ καταγγέλλειν ὑπισχνεῖται τὺς Ἀποςόλυς ζηλῶν, καὶ ἐπὶ τὺς διὰ τῦ μαρτυρίυ ἀθλήσαντας βλέπων, μηδὲν τῦ τοιύτυ ἔργυ, μηδ' αὐτὸ τὸ ζῆν, τίθεσθαι πρότερον.

§. 293.

Ἐπὶ δὲ τῆς Τρίτης τό: Ἡσαΐα Χόρευε, κτ: Δι' ὗ παρίςαται, ὅτι κρηπὶς ἐςὶ τῦ Ἱερα-

Ἱερατικοῦ ἀξιώματος, καὶ τῆς Ἐκκλησίας, ἡ τοῦ Σωτῆρος ἡμῶν εἰς τὸν Κόσμον ἐπιδημία· οὗτινος τὸ πολίτευμα καὶ τὴν Διδασκαλίαν, ὁ ταχθεὶς ἱερᾶσθαι, ὡς θεμέλιον ἡγεῖσθαι ὀφείλει ἑαυτῷ βασιμώτατον.

§. 294.

Τὸ Φίλημα τῆς Ἱερᾶς Τραπέζης δείκνυσι, τό, τε πρὸς Θεὸν ᾧ καθοσιοῦται σέβας, καὶ τὸ πρὸς τὴν Ἐκκλησίαν ἐμφαίνει φίλτρον. Τὸ δὲ τοῦ γόνατος καὶ τῆς χειρὸς τοῦ Ἐπισκόπου Φίλημα, τὴν ὑπ' αὐτῷ τοῦ χειροτονουμένου δείκνυσιν ὑποταγὴν, ὡς ὑπὸ ἰδίῳ ποιμάντορι. Ὁ δὲ μετὰ τὸν Ἁγιασμὸν ἀμοιβαῖος ἀσπασμὸς τὴν συνάφειαν εἰκονίζει, καὶ ὁμόνοιαν, καὶ ἀγάπησιν, ἥτις ἐπὶ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Διδασκαλίας, ὡς ἐπὶ θεμελίου κρηπίζεται καὶ θεμελιοῦται.

§. 295.

Κλίνας δ' ἐν ᾧ μέλλει χειροθετεῖσθαι τὰ γόνατα, ἐπιτίθησι τὴν κεφαλὴν ἐπὶ τῆς Τραπέζης, τελείαν οὕτω καθυπισχνούμενος τὴν ὑπακοὴν τῇ τοῦ Θεοῦ Χάριτι, καὶ τοῖς τῆς Ἐκκλησίας θεσπίσμασιν.

§. 296.

§. 296.

Ὁ δὲ Ἐπίσκοπος ἐπὶ τῆς κεφαλῆς αὐτῷ τὴν ὤαν τȣ̃ Ὠμοφορίȣ ἐπιτίθησι, δεικνὺς, ὅτι ὁ χειροτονȣ́μενος μετοχῆς ἀξιȣ̃ται τȣ̃ φορτίȣ τῆς Ποιμαντικῆς χάριτος.

§. 297.

Αἱ χεῖρες ἐπὶ τῆς κεφαλῆς αὐτῷ ἐπιτίθενται αἱ τῶν Χειροθετȣ́ντων, κατὰ τὴν τῶν Ἱερῶν Ἀποςόλων διάταξιν, οἵτινες ὑπὸ τȣ̃ Πνεύματος ἐναχθέντες, Στέφανόν τε, καὶ Φίλιππον, καὶ τȣ̀ς λοιπȣ̀ς καθηγίασαν εἰς τὴν Διακονίαν προχειρισάμενοι, διά τε εὐχῶν, καὶ διὰ τῆς τῶν χειρῶν ἐπιθέσεως. Ἡ γὰρ τῶν πολλῶν χειροθεσία σεμνύνει τε καὶ ἐπισωίζησι τὸν χειροτονȣ́μενον. Καὶ γράφει τοίνυν καὶ ὁ θεῖος Χρυσόςομος. (Ἐν Ὁμιλ: ΙΗ΄. εἰς τὴν Β΄. πρὸς Κορινθ:) ὅτι καὶ ὁ Ἀπόςολος Παῦλος, ἀπὸ τῆς κρίσεως τῶν Χειροτονησάντων, αἰδέσιμον αὐτὸν ποιεῖ τὸν Βαρνάβαν αἰνιττόμενος· καὶ πολὺ τὸ ἀξίωμα αὐτȣ̃ σημαίνει. Δείκνυσι γὰρ, καὶ ἐπὶ τίνι κεχειροτόνηται. Ἠξιώσαμεν, φησὶ, χειροτονηθῆναι αὐτὸν μεθ᾽ ἡμῶν, καὶ εἰς τὸ ἔργον τȣ̃το προχειρισθῆναι, ὥςε οἰκονόμον γενέσθαι τῶν ἱερῶν χρημάτων, καὶ διάκονον· καὶ ἐχειροτονήθη ὑπὸ τῶν Ἐκκλησιῶν, καὶ ψῆφος τȣ̃

δήμȣ

δήμε παντὸς ἐγένετο. Ἐπισημειέσθω δὲ ϗ τὸ παρὰ τῷ αὐτῷ Πατρὶ (ἐν Ὁμιλ: Α΄. εἰς τὴν πρὸς Τιμόθ: Β΄.) ὡς ὑπὸ τῦ αὐτῦ Παύλυ εἰρημένον: Τὸ χάρισμα τῦ Θεῦ, ὅ ἐςὶν ἐν Σοί, διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μυ. Τυτέςιν ἡ χάρις τῦ Πνεύματος, ἣν ἔλαβες εἰς προςασίαν τῆς Ἐκκλησίας.

§. 298.

Καὶ ἐκφωνεῖ τὴν ἐξ ἀρχαίων χρόνων συνήθη Εὐχὴν, ἡ θεία χάρις κτ: τὴν κεφαλὴν τῦ χειροθετυμένυ ἐπευλογῶν. Εἶτα λέγει τὴν Εὐχὴν, ἐπικαλύμενος τὴν τῦ Παναγίυ Πνεύματος Χάριν, συνευχομένων ἅμα καὶ τῶν Συλλειτυργῶν, καὶ ἐξ αὐτῶν ἑνὸς τὴν ἐκτενῆ δέησιν, ἀναγινώσκοντος. (Ἱππόλυτ: ἐν τοῖς Ἀπος: Διατάγμ: Κεφάλ: 3. 4. 5. καὶ 6.)

§. 299.

Ἔπειτα ὁ χειροθετηθεὶς τὰ τῷ βαθμῷ προσαρμόζοντα ἄμφια περιβάλλεται, ἐπεκφωνῦντος τῦ Ἐπισκόπυ, ϗ τῦ Κλήρυ τό: ἄξιος: ϗ γίνεται ὁ ἀσπασμὸς, κατὰ τὴν τάξιν, δι' ὃ ἡ τῦ ἐπαγγέλματος παρίςαται συνάφειά τε καὶ ἕνωσις· καὶ ἡ ἀγάπη, ἣν οἱ τῆς Ἐκκλησίας λειτυργοὶ πρὸς ἀλλήλυς διασώζειν ὀφείλυσιν.

§. 300.

§. 300.

Τῷ μὲν ἦν Διακόνῳ Ῥιπίδιον ἐγχειρίζεται, ὡς αὐτῦ ἁγιαθέντος ἀνῆκον τῷ ἐπαγγέλματι, τὸ διαριπίζειν τὰ Ἅγια.

§. 301.

Τῷ δὲ Ἱερεῖ, ἐκ τῶν ἤδη καθηγιασμένων δώρων ἀπόμοιρα δίδοται, σὺν ὑποθήκῃ τε καὶ παραινέσει τοιᾶδε: Λάβε τὴν παρακαταθήκην ταύτην κτ:, δἰ ἧς ἐκδιδάσκεται, ὅτι, ὡς ὑπουργὸς τῶν Θεῦ Μυστηρίων, μετὰ εὐλαβείας ἄκρας ὀφείλει τὰ τῆς Ἱερουργίας μετιέναι, εὐσεβείᾳ τε αὐτὸς τῶν ἄλλων διαφέρειν, καὶ τὺς αὐτῷ παρατεθέντας, οἷα δὴ μέλη τῦ Σώματος τῦ Χριςῦ, βίῳ τε καὶ λόγῳ πρὸς ὁδὸν ἀληθείας διεξάγειν, καὶ ἑαυτὸν ἅμα ἄμωμόν τε καὶ ἀνεπίληπτον διατηρεῖν. (Συμεὼν Θεσσαλ: Κεφ: ΡΠΒ΄.)

## 6. ΠΕΡΙ' ἘΠΙΣΚΟ'ΠΟΥ.

3ο2.

Πρὸ πάντων τῆς Ἐκλογῆς γενομένης, δηλῦται τῷ Ὑποψηφίῳ ἡ ἐπ᾽ αὐτῷ εὐδοκία τοῦ Ἄνακτος. Ὡς δὲ τῇ οἰκυμενικῇ Δ΄. Συνόδῳ ἔδοξε τῇ ἐν Χαλκηδόνι, (Καν:

(Καν: ΚΕ) Τὰς Χειροτονίας τῶν Ἐπισκόπων, ἐντὸς τριῶν μιωῶν χρὴ γίνεσθαι.

§. 303.

Μετὰ τὅτο, τῆς καθ᾽ ἣν ἡ Χειροτονία μέλλει γίνεσθαι, ἡμέρας ἐνςάσης, πρὸ τῆς Λειτȣργίας ἀνέρχεται ὁ Ὑποψήφιος ἄχρι τȣ̃ Ἀετȣ̃, τȣ̃ ἐπὶ τοῦ ἐδάφȣς τȣ̃ Νεὼ εἰκονιζομένȣ· ὅ δὴ σημαίνει, τὸ πίςει καὶ ἀρετῇ αὐτὸν χρῆναι τῶν ἐμπιςευομένων αὐτῷ ὑπερέχειν, καὶ πρὸς τὰ ἐν οὐρανοῖς τῷ Πνεύματι μετάρσιον φέρεσθαι. Ἐπὶ παρȣσίᾳ δὲ τοῦ Βασιλέως, καὶ τῶν Ἐπισκόπων, ἀναγινώσκει τὴν ὁμολογίαν τῆς Πίςεως· ὑπισχνεῖται δὲ τηρεῖν ἐπιμελῶς τὰ τῆς Ἐκκλησίας Θεσπίσματα πάντα, καὶ τὴν πρὸς τὸν Ἄνακτα ὀφειλομένην πίςιν τε καὶ πειθάρχησιν· καὶ τὴν μέριμναν τȣ̃ διεξάγειν τὸ ποίμνιον εἰς ὁδὸν Σωτηρίας. Εἶτα παρὰ τῶν Ἐπισκόπων εὐλογίαν λαβὼν, εἰς τὸ Συνοδικὸν ταμεῖον τȣ̃ θρόνȣ ἀπέρχεται.

§. 304.

Μετὰ δὲ τὸν Τρισάγιον ὕμνον, προσάγεται παρὰ τȣ̃ Πρωτοπρεσβυτέρȣ, καὶ τȣ̃ Ἀρχιδιακόνȣ, ἐνώπιον τῶν Βασιλικῶν

κῶν θυρῶν· κἀντεῦθεν δὲ παραλαμβάνεται παρὰ τῶν Ἐπισκόπων, καὶ προσάγεται πρὸς τὴν Ἁγίαν Τράπεζαν, ἔνθα κλίνας τὰ γόνατα, καὶ χεῖρας ἐπ' αὐτῆς καὶ κεφαλὴν τίθησι, μαρτυρῶν διὰ τούτου τὴν ὑπὸ τῷ Θεῷ ὑποταγὴν τῆς οἰκείας βουλήσεως.

§. 305.

Οἱ δὲ δὴ χειροτονοῦντες Ἐπίσκοποι, κατέχουσιν ἐπὶ κεφαλῆς τοῦ καθαγιασθησομένου τὸ Ἱερὸν Εὐαγγέλιον ἀνεωγμένον· ὡς ἂν διὰ μνήμης σώζοι, ὅτι, καὶ ὑψωθεὶς, τοῖς Εὐαγγελικοῖς ὅμως θεσμοῖς ἐστὶν ὑποκείμενος· καὶ ὅτι, ὡς ἄλλοις μέλλων ἐντέλλεσθαι, τὰ τοῦ Νόμου ἐντάλματα ἐπιδέχεται· καὶ ὅτι ἡ τὴν Ἱερωσύνην τελεταρχοῦσα δύναμις, Χάριτι τοῦ διατάξαντος τὸ Μυστήριον χορηγεῖται· καὶ ὅτι Ἱερουργῶν αὐτὸς, ἀκριβῆ τε καὶ τελείαν ἔχειν ὀφείλει τὴν τῶν Εὐαγγελικῶν Μυστηρίων ἐπίγνωσιν, ὡς ἂν καὶ τοὺς ἄλλους ἔχοι μυσταγωγεῖν. (Διατ: Ἀποστ: Βιβλ: Η΄. Κεφαλ: Δ΄. Καὶ Συνοδ. Δ΄. τῶν ἐν Καθαργένῃ, Καν: Β΄. Καὶ Χρυσόσ. ἐν Ὁμιλ: Β΄. τῶν εἰς τὸ Εὐαγγ: ἐπαίνων. Καὶ ἐν τῇ Ὁμιλ: τῇ περὶ τοῦ ἑνὸς Νομοθέτου, ἔνθα τοιάδε γράφει:)

„Διὰ

„Διὰ τȣ̃το καὶ ἐν τῇ Ἐκκλησίᾳ, ἐν ταῖς
„χειροτονίαις τῶν Ἱερέων, τὸ Εὐαγγέλιον
„τȣ̃ Χριςȣ̃ ἐπὶ κεφαλῆς τίθεται, ἵνα
„μάθῃ ὁ χειροτονȣ́μενος, ὅτι τὴν ἀλη-
„θινὴν τȣ̃ Εὐαγγελίȣ Τιάραν λαμβάνει.
„Καὶ ἵνα μάθῃ, ὡς εἰ καὶ πάντων ἐςὶ Κε-
„φαλὴ, ἀλλ' ὑπὸ τȣ́τȣς πράττει τȣ̀ς νό-
„μȣς· πάντων κρατῶν, καὶ ὑπὸ τȣ̃ Νό-
„μȣ λογοθετȣ́μενος.

§. 306.

Τρεῖς, (ἢ παρ' ἔλλειψιν τȣ̃ τρίτȣ) δύο τȣ̀λάχιςον Ἐπίσκοποι ἀπαιτȣ̃νται, εἰς τὴν Ἐπισκόπȣ χειροθεσίαν, κατὰ ἀρχαίαν παράδοσιν· ȣ̓δ' αὐτὸς ὁ Πατριάρχης μόνος, πολλῷ δ' ἔλαττον ὁ Μητροπολίτης, ἢ ὁ Ἀρχιεπίσκοπος, ἢ ὁ Ἐπίσκοπος ἀποχρῆσει, ἐπὶ τῇ Ἐπισκόπȣ αἱρέσει· διὸ ȣ̓δ' ἐπὶ τῇ τȣ́τȣ χειροτονήσει. Παρὰ γὰρ τῇ Συνόδῳ, τὸ τῆς Ἐκλογῆς χρῆμα ἐςὶ. (Κυπριαν: ἐν Ἐπις: ΞΗ. Καὶ Εὐσέβ: ἐν Βιβλ: ς'. Κεφαλ: ΙΑ'. Καν: Δ'. τῆς ἐν Νικαίᾳ Α'. Συνόδȣ. Καὶ τῶν Ἀποςολ: Διατ: Βιβλ: Η'. Κεφ: ΚΖ'. Καὶ τῆς ἐν Χαλκηδ. Συνόδου Καν: Η'. καὶ ΚΕ'.)

Τὰ λοιπὰ σαφῶς ἔχει νοεῖσθαι ἐκ τοῦ Τυπικȣ̃, ἐν τῷ περὶ τῆς Ἐπισκόπου χειροτονίας.

## 7 ΠΕΡΙ' ΤΟ'Υ ΠΑΤΡΙΑ'ΡΧΟΥ.

§. 307.

Τελευτήσαντος τȣ̃ Πατριάρχȣ, ὁ Βασιλεὺς, ὡς ὑπερασπιστὴς τῆς Ἐκκλησίας ὑπάρχων, τȣ̀ς Ἐπισκόπȣς συγκαλεῖ δι' Ἐδίκτȣ, ὡς ἂν Συνοδικῶς ἡ ἐκλογὴ γένοιτο τȣ̃ Πατριαρχεύσοντος. (Συμ: ὁ Θεσσαλ: Κεφ: ΣΚΔ΄. καὶ ΣΚΕ΄. περὶ τῆς τȣ̃ Πατριάρχ: Χειροτον:

§. 308.

Ὀυδεὶς τῶν συναγειρομένων Ἐπισκόπων εἰς τὴν Μεγάλην Ἐκκλησίαν ἐπιτολμᾷ εἰσιέναι, ἵνα μὴ δόξῃ Πατριαρχειᾶν. Τετέςι τὴν ἐξȣσίαν ἑαυτῷ προκαταλαμβάνειν τὴν Πατριαρχικήν.

§. 309.

Ἡ Σύνοδος συγκροτεῖται ἐν Ναῷ ἑτέρῳ, ἢ ἐν τῷ Παλατίῳ· ἔνθα ςυλȣ̃νται αἱ τῶν Ἱερῶν Ἀποςόλων εἰκόνες· ἐφ' ᾧ τȣ̀ς ἀθροισθέντας ἀτενῶς προσέχειν,

χειν, ἀναλογιζομένες μεθ' ὅσης δὴ τῆς ψυχῆς καθαρότητος οἱ θεῖοι Ἀπόστολοι τὲς τῆς Ἐκκλησίας ᾑρεῦντο θεράποντας, καὶ κατὰ τὸ ἐκείνων ὑπόδειγμα, προσπαθείας ἁπάσης ἀπηλλαγμένοι, τὰς ἑαυτῶν ἐξαίρωσι καρδίας ἐπὶ τὴν χάριν τε Παναγίε Πνεύματος.

§. 310.

Ἅπτονται γεν Λυχνίαι τρεῖς· καὶ θυμίασις γίνεται· ὁ δὲ ἐν τοῖς Ἐπισκόποις προεδρέυων, λέγει τὴν Ἐκτενῆ, μνημονέυων ἐν αὐτῇ καὶ τε Πατριάρχε τε τελευτήσαντος.

§. 311.

Οἱ δ' ἠθροισμένοι συνεδριάσαντες καθ' ἣν ἀξίαν ἕκαςος ἔλαχε, τὰς αὐτῶν ψήφες διδόασι προσώποις τρισί.

§. 312.

Δύο δὲ τῶν Ἐπισκόπων, καὶ ὁ Χαρτοφύλαξ, προσφέρεσι τὰ τῶν ἐκλεχθέντων ὀνόματα τῷ Βασιλεῖ, ὡς Χριςῷ Κυρίε. Ἀνέκαθεν γὰρ ὑπὸ τῶν Θεοφόρων Πατέρων τεθέσπιςαι, πρὸς τε Βασιλέως τὸν ἕνα ἐπικυρεσθαι τῶν προβαλλομένων.

 §. 313.

§. 313.

Τῆς σῶν ἡμέρας ὁριθείσης ἐν σωελεύσει τῇ τῶν Ἀρχιερέων, καὶ πολλῶν Ἀρχιμανδριτῶν τε, καὶ Ἡγουμένων, καὶ Πρεσβυτέρων, καὶ τοῦ Κλήρου, καὶ τοῦ Λαοῦ· καὶ τῶν λαμπάδων ἀνημμένων, αναγινώσκεται Ἐκτενὴς ὑπὸ τοῦ εἰς Πατριάρχίω ἐπισημανθέντος· παρατίθεται δὲ αὐτῷ Χάρτης Ἀνακτορικὸς παρὰ τῶν πρωτευόντων ἐν Μεγιστᾶσιν, οὕτως ἐν τῷ ἐγχειρίζειν προσφθεγγομένων: Ὁ Κραταιὸς καὶ Ἅγιος ἡμῶν Βασιλεὺς ὁ Θεόσδοτος, καὶ ἡ Μεγάλη Σιωόδος, προσκαλεῖται τίὼ Σίὼ Ἁγιωσιώίω ἐπὶ τὸν ὑπέρτατον Θρόνον τῆς Κωνσταντινουπόλεως (Φέρε) Πατριαρχείας.

§. 314.

Πρὸς τὸν ἄρτι οὕτως ἐκλελεγμένον (εὐπρεπῶς ὑποπαρατοὺμενον), καὶ τίὼ Ἐκκλησίαν διεξάγειν ὑποδεχθέντα, προσίασιν οἱ Ἀρχιερεῖς, καὶ ποιοῦσι προσκώνησιν· μεθ' οὓς καὶ οἱ λοιποὶ, καὶ ὁ λαὸς, εὐλογίαν τίὼ παρ' αὐτοῦ ἀντικομιζόμενοι.

§. 315.

Τῷ ἐκλεχθέντι, ἐὰν ᾖ Ἐπίσκοπος, πέμπει ὁ Βασιλεὺς Μανδύαν μετὰ ποταμῶν·

μῶν·

μῶν· καὶ Παναγίαν (ἤτοι ἐγκόλπιον, τὴν Εἰκόνα γεγραμμένην ἔχον τῆς Θεομήτορος.) προσελθόντι δὲ, ἐγχειρίζει τὴν Βακτηρίαν, καὶ εὐλογίαν ἀντιλαμβάνει.

§. 316.

Εἶτα ὁ ἐκλεχθεὶς, ἀπὸ τῶν Ἀνακτόρων, διὰ τοῦ Μεσαυλίου, ἐφ' ἵππῳ ὀχούμενος, ἐπὶ τὸν τοῦ Πατριαρχέιου Ναὸν ἐλαύνει, τῆς Γερουσίας αὐτὸν συμπροπεμπούσης.

§. 217.

Εἰς τὸν Ναὸν δὲ εἰσελθὼν, ἔσεισιν ἐντὸς τοῦ Θυσιαστηρίου, καὶ Φορεῖ Ἐπιτραχήλιον, καὶ Ὠμοφόριον, ἐπιθυμιᾷ τε τὴν Ἱερὰν Τράπεζαν, καὶ τὴν ἄνω Καθέδραν, καὶ αὖθις τὴν Τράπεζαν· καὶ ἀσπασάμενος τό, τε Ἅγιον Ἐυαγγέλιον, καὶ αὐτὴν, ἄρχεται: Ὁ μὲν Διάκονος λέγει τὴν Ἐκτενῆ ἐπὶ Ἄμβωνος: ὁ δὲ Πατριάρχης μετὰ τὴν Εὐχὴν ἐκφωνεῖ: Ὅτι ἐλεήμων κτ: καὶ τὸν Λαὸν εὐλογήσας, ἔξεισι ψάλλοντος τοῦ Κλήρου, τό: Εἰς πολλὰ ἔτη Δέσποτα.

§. 318.

Τῇ δ' ἐπαύριον, παρόντος τοῦ Βασιλέως, καὶ τῶν Ἀρχιερέων, καὶ τοῦ Κλήρου,

ρȣ, καὶ τȣ̃ Λαȣ̃, ἐκτελεῖ μεγαλοπρεπῶς ὁ Πατριάρχης τὴν Λειτȣργίαν.

§. 319.

Εἰσελθόντος αὐτȣ̃ εἰς τὸ Θυσιαστήριον, μετὰ τὸν Τρισάγιον ὕμνον διανέμονται πᾶσι λαμπάδες. Τῶν δὲ πρωτευόντων ἐν Ἀρχιερεῦσι δύο, χερσὶν ὑπανέχοντες, ἄγȣσιν αὐτὸν ἐπὶ τῆς ἄνω Καθέδρας, καὶ καθιδρύσαντες, κεκράγουσιν· Ἄξιος. Καὶ τὸ αὐτὸ ψάλλȣσι καὶ οἱ ἐν τῷ Βήματι παρεστῶτες, καὶ μετ' αὐτȣ̀ς ὁ Χορός. Ἡ δὲ κραυγὴ, καὶ τὸ Ἆσμα, ἐπαναλαμβάνεται τρίς.

§. 320.

Ἐὰν ὁ ἐκλεχθεὶς τύχῃ Πρεσβύτερος ὤν, χειροτονεῖται πρότερον εἰς Ἐπίσκοπον.

Τῇ δὲ ἡμέρᾳ, καθ' ἣν μέλλει τὴν Λειτȣργίαν ἐπιτελεῖν, εἴσεισιν εἰς τὸ Θυσιαστήριον μόνος, καὶ προσκυνήσας, καὶ τὴν Ἱερὰν Τράπεζαν ἀσπασάμενος ἐν φιλήματι, ἐπὶ τῶν βαθμῶν ἐλθὼν ἵσαται τῆς ἄνω Καθέδρας, καὶ τὴν Ἐπισκοπικὴν ἀμφιέννυται Περιβολὴν, πλὴν τȣ̃ Ὠμοφορίȣ· οἱ δὲ λοιποὶ τῶν Ἀρχιερέων ἐν Μανδύοις εἰσίν.

§. 321.

Τῶν δὲ Ἀρχιερέων καὶ τοῦ Κλήρου παρισαμένων, ἀναγινώσκει τὴν ὁμολογίαν τῆς Πίστεως, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν ὁρκομωσίαν ἀνήκοντα, ὡς Ἐπίσκοπος, ἐξαιρημένης τῆς ὑπὸ τῷ Πατριάρχῃ καθυπείξεως.

§. 322.

Τὴν δὲ δὴ ὁρκομωσίαν ταύτην, αὐτὸς ὀφείλει μόνος συγγράψασθαι, ἢ γοῦν ὑφ' ἑτέρου γραφεῖσαν καθυπογράψαι.

§. 323.

Μετὰ τὴν ἀνάγνωσιν τῆς ὁρκομωσίας, ἀπελθόντες οἱ Ἐπίσκοποι ἐπὶ τοὺς συνήθεις τόπους ἐνδύονται· ὡσαύτως δὲ καὶ οἱ Πρεσβύτεροι ἐξ ὧν εἷς ἐπιτελεῖ τὴν Προσκομιδήν.

§. 324.

Ἐπὶ τῆς πρώτης Εἰσόδου, τῆς Εὐχῆς ἤδη τῆς αὐτῇ προσανηκούσης, ἀναγνωσθείσης, εἰσπορεύονται εὐτάκτως εἰς τὸ Θυσιαστήριον, καὶ τὸν ἐκλεχθέντα προσκυνήσαντες κατὰ τάξιν καθίσανται.

§. 325.

Δύο τῶν Ἐπισκόπων οἱ πρόκριτοι, ἀναλαμβάνεσι τὸν ἐκλεχθέντα ὑπὸ χειρῶν παρ' ἑκάτερα, καὶ περιάγεσιν αὐτὸν περὶ τὴν Ἁγίαν Τράπεζαν, κυκλῶντες τρὶς, καὶ ψάλλοντες τὸ Τροπάριον: Ἅγιοι Μάρτυρες κτ: Καὶ οἱ μὲν Διάκονοι, καὶ οἱ Πρεσβύτεροι προάγεσιν, οἱ δὲ Ἀρχιερεῖς συμπροΐασι παραπέμποντες. (Συμεὼν ὁ Θεσσαλ: ἐν Κεφ: ΣΛΕ΄.)

§. 326.

Προεδρέυει δὲ ὁ Ἡρακλείας Μητροπολίτης τῶν ἄλλων, ὅτι κατὰ τὸ ἑκατοσὸν Ἐννενηκοσὸν τρίτον ἀπὸ Χριςῦ τῦ Σωτῆρος ἔτος, τῦ Βυζαντίου Ἄςεος, ὑπὸ τῦ Αὐτοκράτορος Σευήρυ ἐκπολιορκηθέντος τε καὶ κατηρειπότος, καὶ Περίνθῳ δὲ, τῇ ἐκ τῦ σωέγγυς Πολίχνῃ καθυπαχθέντος, τῇ ὕςερον Ἡρακλείᾳ μετονομαθείσῃ, Κωνςαντῖνος ὕςερον ὁ Μέγας, τόδε δὴ τὸ προνόμιον ταύτῃ, αἰδοῖ Ἀρχαιότητος ἐπιδιατηρηθῆναι ηὐδόκησεν. (Ἡρωδιαν: ἐν Βιβλ: Γ΄. Καὶ Νικηφὸρ: Γρηγορᾶς ἐν Βιβλ: ς΄.)

§. 327.

Ὁ δὲ ἐκλεχθεὶς τὰ γόνατα κλίνας, χεῖρας τε καὶ κεφαλὴν ἐπανατίθησι

τῇ

τῇ Τραπέζῃ· ὁ δ' ἐν Μητροπολίταις πρωτεύων, (τῦ Ἡρακλείας, εἰ τύχοι, ἀπόντος) ἐκφωνεῖ· ψήφω καὶ δοκιμασίᾳ κτ: ἡ Θεία χάρις κτ: Καὶ ψάλλεται τό: Κύριε ἐλέησον. Καὶ ἀναγινώσκεται ἡ πρώτη Εὐχή. Εἶτα ὁ δευτεροταγὴς Ἀρχιερεὺς λέγει τὴν Ἐκτενῆ· ὁ δὲ χειροθετῶν, τὴν Εὐχὴν διέρχεται τὴν δευτέραν, ἔχων τὴν χεῖρα ἐπὶ τῇ Κορυφῇ τῦ χειροτονυμένυ ἐπικειμένην. Τελευταῖον δὲ τὸ Εὐαγγέλιον αἴρει, καὶ τίθησιν ἐπὶ τῆς Τραπέζης· ἀνεξορθώσας δὲ τὸν χειροτονηθέντα, καὶ τὸ Ὠμοφόριον εὐλογήσας αὐτῷ ἐπιτίθησι, κεκράξας τό: Ἄξιος.

§. 328.

Κάτεισι δὲ ἀπὸ τῦ πρώτυ τόπυ, ὅνπερ ἐπικαταλαβὼν ἤδη ὁ Πατριάρχης, τίθησιν ἐπὶ τῆς Τραπέζης τὴν δεξιάν. Οἱ δὲ Ἀρχιερεῖς κατασπάζονται τήν τε Ἁγίαν Τράπεζαν, καὶ αὐτῦ τὴν χεῖρα, καὶ τὰς παρειάς, καὶ τὸ σόμα, ἐπιλέγοντες τό Ὁ Χριςὸς ἐν μέσῳ ἡμῶν.

§. 329.

Ἔπειτα ὁ Πατριάρχης καὶ οἱ λοιποί, τὴν Τράπεζαν ἀσπασάμενοι, χωρῦσιν·

σιν ἐπὶ τὴν ἄνω Καθέδραν, ἐφ' ἧς ὁ Πατριάρχης ἀνάγεται.

§. 330.

Μετὰ τὸ ὑπὸ τῶν Σαρακηνῶν τὴν τῶν Γραικῶν Βασιλείαν καθυπαχθῆναι, διερωτᾶται περὶ τῆς του Πατριαρχεύσοντος ἐκλογῆς ὁ Σȣλτᾶν ὑπο τῆς Συνόδȣ. Ἐξελθὸν δὲ τὸ Εδῖκτον, ὁ Χαρτοφύλαξ, ἤ ὁ Μέγας Ὀικονόμος, ἐπὶ παρȣσίᾳ τῶν Ἀρχιερέων, καὶ τȣ̃ Κλήρȣ, καὶ τȣ̃ Λαȣ̃, ἀνακηρύττει αὐτὸ πρὸς τὸν „Αἱρεθέντα: „Ἡ θεία καὶ Ἱερὰ Σύνοδος „τῶν Ἁγίων Μητροπολιτῶν τε, καὶ Ἀρ„χιεπισκόπων, καὶ Ἐπισκόπων, καὶ τȣ̃ „Ἐυλαβεςάτȣ Κλήρȣ, καὶ τῶν Ἐυσεβῶν „προεςώτων τȣ̃ Γένȣς τῶν Χριςιανῶν, „μετεπέμψατο τὴν Σὴν Ἀρχιερωσύνην, „ἀπὸ τȣ̃ Θρόνȣ τῆς Ἁγιωτάτης Μητρο„πόλεως (Δεῖνος) ἐπὶ τὸν ὑπέρτατον „τȣ̃τον, καὶ μέγαν Πατριαρχικὸν Θρό„νον τῆς Ἁγιωτάτης Μεγάλης τȣ̃ Χριςȣ̃ „Ἐκκλησίας. Τὰ δὲ λοιπὰ, κατὰ τὴν „προδιαγραφεῖσαν τάξιν προβαίνει.

## 8. ΠΕΡΙ' ΤΩ'Ν ΛΟΙΠΩ'Ν 'ΕΝ ΤΗ͂Ι 'ΕΚΚΛΗΣΙΑι ΤΑ'ΞΕΩΝ.

§. 331.

Συμεὼν ὁ Θεσσαλονίκης διεξέρχεται περὶ τοῦ 'Οικονόμου, τοῦ Σακελλαρίου, τοῦ Σκευοφύλακος, τοῦ Χαρτοφύλακος, τοῦ Σακελλίου· Καὶ περὶ τοῦ 'Εκκλησιάρχου, καὶ τοῦ Πρωτεκδίκου, καὶ ἄλλων τῶν ἐν 'Οφφικίοις διαφόροις ἐπισήμων, ὅι ἔξω τοῦ Βήματὸς εἰσὶ προαγόμενοι. ("Ορα §. 282.)

§. 332.

Καθημένου τοῦ 'Επισκόπου μέσον τοῦ Ναοῦ, παραςαθεὶς ὁ μέλλων προάγεσθαι, κλίνει τὴν κεφαλήν. 'Ο δὲ Χαρτοφύλαξ κράζει: Κελεύσατε: 'Αναςὰς δὲ ὁ 'Επίσκοπος ἐπιτίθησι τῷ προαγομένῳ τὴν δεξιὰν, λέγων: 'Η χάρις τοῦ Παναγίου Πνεύματος προχειρίζεταί Σε (τὸν Δεῖνα) εἰς Οἰκονόμον τῆς 'Αγίας 'Εκκλησίας: καὶ ἐπισφραγίζει τὴν κεφαλὴν αὐτοῦ· ἐπᾴδοντος τοῦ Κλήρου, τὸ 'Αξιος. 'Ο δὲ προαχθεὶς ἀσπάζεται τοῦ 'Επισκόπου τὸ γόνυ, τὸν βραχίονα, καὶ τὴν χεῖρα. (Συμ: Θεσσαλ: Κεφ: ΣΜϛ.)

§. 333.

§: 333.

Ἡ αὐτὴ δὲ τάξις τηρεῖται κἀν τῇ προαγωγῇ τῇ ἐπὶ τὰ ἄλλα Ὀφφίκια.

§. 334.

Ἐὰν δὲ ἡ κλῆσις πρὸς τὸ Κριτοῦ ἐπάγγελμα ἀναφέρηται, τότε ὁ Ἐπίσκοπος προασπασθὲν αὐτῷ ἐγχειρίζει τὸ Ἐυαγγέλιον, ἐπιλέγων: Εἶπεν ὁ Κύριος, ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε. Φρικτὸν τὸ ῥῆμα! ὡς γὰρ ἕκαστος δικάζει, δικασθήσεται. Ὁ δὲ κρίνων, κρίνειν ὀφείλει κατὰ τὸ Ἐυαγγέλιον, ὡς ὁ Κύριος ἔφη: Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Ἐπὶ τούτῳ δίδωσι κατασπάσασθαι. (Ματθ: Ζ'. 2. Ἰωάν: Ζ. 24. Συμ: Θεσσαλ: Κεφάλ: ΣΜΖ':)

ΤΜΗΜΑ

# ΤΜΗ͂ΜΑ ΔΕΥ͂ΤΕΡΟΝ.

## ΠΕΡΙ ΤΩ͂Ν ὈΦΦΙΚΙ͂ΩΝ, Ἤ ΤΟΙ ΠΕΡΙ ΤΩ͂Ν ἘΡΓΩΝ ΤΕ ΚΑΙ ὙΠΟΥΡΓΗΜΑΤΩΝ ἙΚΑ͂ΣΤΗΣ ΤΩ͂Ν ἹΕΡΩ͂Ν ΤΑ͂ΞΕΩΝ.

§. 335.

Ἐν τίνι τὸ Ὀφφίκιον ὑφίσταται τὸ τοῦ Ἐξορκιστοῦ τῶν Κατηχουμένων, καὶ τὸ τοῦ Ἀναγνώστου, καὶ τὸ τοῦ Ψάλτου, καὶ τὸ τοῦ Κηροφόρου, ἢ Λαμπαδούχου, καὶ τῶν λοιπῶν ὑπηρετῶν τῆς Ἐκκλησίας, αὐτὰ τὰ ὀνόματα ἀποχρώντως ἀποδείκνυσι.

§. 336.

Τῷ τοῦ Ὑποδιακόνου Ὀφφικίῳ ἀνήκει: 1.) τὴν τοῦ Ἐπισκόπου ἐσθῆτα παρασκευάζειν. — 2) ἐν καιρῷ τῆς Λειτουργίας προσφέρειν τὸ Τρικήριον, καὶ τὸ Δικήριον: καὶ τὴν Λεκάνην, ἤτοι τὸν Νιπτῆρα — 3) ἐν καιρῷ δὲ τῆς κοινωνίας τῶν Ἁγίων Μυστηρίων, παρὰ ταῖς θύραις ἑστηκέναι καὶ παρατηρεῖν, μήτις, ᾧπερ οὐ θέμις, εἰσέλθοι τοῦ Θυσιαστηρίου ἐντός. Τὸ γε μὴν ὑπούργημα τὸ τοῦ Διακόνου, μετιέναι, τοῖς

„Ὑπο-

Ὑποδιακόνοις ἀπηγόρευται. (Ἀπος: Διατ: Βιβλ: Η΄. Κεφ: ΙΑ΄. Εὐσεβ. Βιβλ: Γ΄. Κεφ: Δ΄: Συνοδ. ἐν Λαοδικ: Καν: ΚΒ΄.)

## Ὀφφίκιον τῶν Διακονισσῶν.

§. 337.

Αἱ Διάκονοι καθιερȣ̃ντο μὲν, τάξιν δὲ Ἱερατικὴν ȣ̓δεμίαν εἶχον. (Ἀπος: Διατ: Βιβλ: Γ΄. Κεφ: Θ΄.)

Τὸ δ' Ὀφφίκιον αὐταῖς ἦν: 1: παρεῖναι ταῖς γυναιξὶ καὶ παρθένοις βαπτιζομέναις, αἰδημόνως πρὸς τὸ σεμνότερον. (Ἀπος: Διατ: Βιβλ: Γ΄. Κεφ: ΙΕ΄.) — 2) Τὰς θήλεις, οἵκοι Κατηχȣμένας, διδάσκειν τὸν λόγον. (Συνοδ. Καθαργ: Καν: ΙΒ΄. — 3) Τὰς ἀσθενȣ̃σας, καὶ τὰς ἐν εἱρκτῇ τηρȣμένας ἐπισκέπτεσθαι, καὶ ταύταις τȣ̀ς παρὰ τῶν Ἐπισκόπων Κανόνας ἀναπτύσσειν. (Ἐπιφάν: Βιβλ: Γ΄. Αἱρέσ: ΟΘ. — 4) Ἐπειδὴ χωρὶς ἀπέκειτο ἡ πύλη, δι' ἧς ταῖς γυναιξὶν ἡ εἰς τὸν Ναὸν Εἴσοδος, εἰκὸς ἦν τὰς Διακονίσσας παρεστάναι, εἰς ὃ ἔσω γένοιντο ἅπασαι, τήν τε χώραν ὅπȣ σταῖεν αὐταῖς ὁριζȣ̃σας, τῶν χηρευȣσῶν προτασσομένων, καὶ παραινȣ̃σας τὸ εὐπρεπὲς τε καὶ κόσμιον. (Ἀπος:

(Ἀποϛ: Διατ: Βιβλ: Η΄. Κεφ: ΚΗ΄. καὶ Βιβλ: Β΄. Κεφ: ΝΓ΄.) — 5) Τὰς δεομένας ἀναφέρειν τε καὶ προσάγειν τῷ Ἱερεῖ, ἢ τῷ Ἐπισκόπῳ· (Ἀποϛ: Διατ: Βιβλ: Β΄. Κεφ: Κϛ΄.)

Διήρκει δ' ἡ τῶν Διακονισσῶν τάξις ἐν τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ, ἄχρι τῆς ΙΒ΄. Ἑκατονταετηρίδος ληγέσης, ἐπὶ τῶν χρόνων τῶν τε Βαλσάμωνος· ἐν δὲ τῇ Ἐκκλησίᾳ τῆς Ῥώμης, ἕς γ' ἐπὶ τὴν πέμπτην μεσάζεσαν. (Βαλσάμ: ἐν Ἀποκρ: ταῖς πρὸς τὰς Μάρκε Ἐρωτ: Κεφ: ΛΕ΄.)

Ὀφφίκιον τὸ τε Διακόνε.

§. 338.

1) Τὸ ἐπὶ τῆς Λειτεργίας, καὶ τῶν ἄλλων Ἱκεσιῶν, τοῖς Ἐπισκόποις, καὶ τοῖς Πρεσβυτέροις καθυπεργεῖν. (Ὅρα ἐν τῷ Εὐχολογ: ἢ Τυπικῷ, περὶ τῆς Λειτεργ: ἐν Καν: Β΄.) — 2) Τὸ τὴν ἐπιστασίαν ἔχειν τῆς Ἁγίας Τραπέζης, καὶ τῶν Ἱερῶν. (Συνοδ. τῆς ἐν Λαοδικ: ΚΑ΄ — 3) Τὸ δέχεσθαι τὰ προσφερόμενα, καὶ ἀποδιδόναι τῷ Πρεσβυτέρῳ. (Κυπρι: Θ΄.) — 4) Τὸ μνημονεύειν ὀνομαςὶ τὲς προσφέροντας. (Ἱερών: εἰς τὸν Ἰεζεκιὴλ Κεφ: ΙΗ΄.) — 5) Τὸ ἀναγινώσκειν τὸ Εὐαγγέλιον,

λιον, (Ἀπος; Διατ: Βιβλ: Β΄. Κεφάλ: ΝΖ΄.) — 6) Τὸ τὰς πρὸς Κύριον δεήσεις ἐκχέειν, ὡς ἐκ προσώπε τε̃ Λαε̃. (Ἀπος: Διατ: Βιβλ: Η΄. Κεφ: Ε΄. Καὶ Σωκρ: Βιβλ: Β΄. Κεφ: ΙΑ΄. — 7) Τὸ νεθετε̃ν καὶ διορθε̃ν τὲς ἀθετε̃ντας τὰ τε̃ Νόμε, ἀδιορθώτες δὲ μένοντας εἰσαγγέλλειν· (Ἀπος: Διατ: Βιβλ: Β΄. Κεφ: Λ΄. — 8) τὸ ἐν ἀπεσίᾳ τε̃ Ἱερέως τὸν Λαὸν ἐκδιδάσκειν· (Ἀμβρ: εἰς τὴν πρὸς Ἐφεσ: ἐν Κεφ: ς΄.) — 9) Διάκονον δὲ, τε̃ Ἱερέως ἐνώπιον παρόντος, ε̉ δε̃ι καθέζεσθαι, ἢν μὴ Ἐκε̃ινος αὐτῷ ἐπιτρέψῃ· (Συνόδ. ἐν Λαοδικ: Καν: Κ΄.)

## Ὀφφίκιον τὸ τε̃ Ἀρχιδιακόνε.

§. 339.

Ὁ Ἀρχιδιάκονος ὑπεργὸς ἐςὶ τε̃ Ἀρχιερέως ὁ πρῶτος· ἔχει δ᾽ ἐν Διακόνοις τὸ προνόμιον, ὃ καὶ ὁ Πρωτοπρεσβύτερος ἐν Ἱερεῦσιν. Ὁ δ᾽ αὐτὸς καὶ τὰς Ἐκκλησιαςικὰς προσόδες τοῖς ὀρφανοῖς καὶ ταῖς χήραις ἦν διανέμων. Ἀνήγγελε δὲ καὶ τῷ Λαῷ τὰ τε̃ Ἐπισκόπε θεσπίσματα. Τὰ δ᾽ ἄλλα, τε̃του τὸ Ὀφφίκιον ταὐτὸν ἐςὶ τῷ τε̃ ἁπλῶς Διακόνε. (Ἱερων: Ἐπις: Α΄. καὶ ΠΕ΄. Καὶ Ἀμβρόσ: Περὶ

Περὶ τῶν Καθηκ: Βιβλ: Α΄. Κεφ: ΜΑ΄. καὶ Βιβλ: Β΄. Κεφαλ: ΚΗ΄.)

## Ὀφφίκιον τὸ τȣ̃ Πρεσβυτέρȣ.

§. 340.

1) Τὸ Πρεσβυτέρȣ ὀφφίκιον ἐςὶ, δεσμεῖν μὲν τȣ̀ς ἀμετανοήτȣς, λύειν δὲ τȣ̀ς μετανοȣ̃ντας, καὶ εἰς τὴν Ἐκκλησίαν τȣ́τȣς ἀποδέχεσθαι. Καὶ ἐπιτίμια ἐπάγειν, καὶ τῷ Ἱερῷ ἐλαίῳ ἐπιχρίειν, καὶ λειτȣργίας ἐπιτελεῖν, καὶ τὰ λοιπὰ ἐν ταῖς Μυςαγωγίαις τε καὶ ἁγιαςείαις διαπράττεσθαι. (Ἰγνάτιος Ἐπις: πρὸς τὴν ἐν Σμύρνῃ Ἐκκλ: Καὶ Ἀμβρόσ: ἐν τοῖς περὶ Μυςηρ: Βιβλ: Γ΄. Κεφ: Α΄.) — 2) Τὸ τὰς πρὸς Θεὸν Εὐχάς τε καὶ δεήσεις προσφέρειν· ὅθεν καὶ ςόμα τȣ̃ Λαȣ̃ ὁ Ἱερεὺς ἐκαλεῖτο. (Ὅρα §. 191.) — 3) Ἐν ταῖς σȣγκροτȣμέναις Σȣνόδοις παρεῖναι. (Ἀπος: Διατ: Βιβλ: Β΄. Κεφ: ΚΗ΄. Καὶ Κυπριαν: ἐν Ἐπις: ς΄ — 4) Ἐφεῖται τοῖς Πρεσβυτέροις, ἐνώπιον τῆς Ἁγίας Τραπέζης καθέζεσθαι ἀπόντος τȣ̃ Ἐπισκόπȣ· καὶ δὴ καὶ παρόντος: πλὴν ἀλλὰ τȣ̃ Ἐπισκοπικȣ̃ τόπου ἐκτὸς. (Γρηγορ: Ναζιανζ: Λόγ: Κ΄. Ἐπιταφ: εἰς τὸν Μ. Βασίλ: Καὶ Ἐπιφ: Αἱρέσ: ΟΕ΄. Καὶ Ἀπος: Διατ:

Βιβλ: Β΄. Κεφ: ΝΖ΄.) Τοῖς δὲ δὴ Πρωτοπρεσβυτέροις ἀνῆκον ἐςὶ τὸ δικαίωμα, Ἐφόροις εἶναι ἐπὶ τῶν ἄλλων Πρεσβυτέρων· (Ἱερῶν: Ἐπις: Δ΄. πρὸς Ἰȣςῖνον.)

## Ὀφφίκιον τȣ̃ Ἐπισκόπου.

§. 341.

1) Τὸ κηρύττειν τὸν Θεῖον Λόγον. (Ἰγνάτ: ἐν Ἐπις: πρὸς Σμυρν:, καὶ Ἀμβρόσ: περὶ Μυςηρ: Βιβλ: Γ΄. Κεφ: Α΄. Καὶ Ἀπος: Διαταγ: Βιβλ: Β΄. Κεφ: ΝΗ. Καὶ Κυπρ: Ἐπις: ΝΒ΄. — 2) Τὴν Διοίκησιν ἐπισκέπτεσθαι, καὶ ὑπὲρ τῆς ἐπὶ τὸ βέλτιον καταςάσεως πολυωρεῖντε καὶ τὸν Λαὸν ἐκδιδάσκειν. — 3) Χειροτονεῖν Ἱερεῖς καὶ Διακόνȣς, καὶ Κληρικοὺς. (Ὅρα §. 284. κἑξ;) — 4) Τὴν Διοίκησιν μὴ ἀπολείπειν· (Συνοδ: ἐν Σαρδικ. Καν: Α΄. καὶ τῆς Γ΄. τῶν ἐν Καθαργ: Καν: ΚΗ΄. — 5) Ὑπεραμύνεσθαι τῶν ἀδίκως ἐπηρεαζομένων. (Συνο: ἐν Σαρδι: Καν: Η΄. καὶ Ι. — 6. Ἐν ταῖς Συνόδοις παρȣσιάζειν. (Συν: ἐν Νικαίᾳ Καν: Ε΄. καὶ Συν: ἐν Ἀντιοχ- Καν: Κ΄.) — 7) Σχολεῖα ἐπισυνιςᾶν, καὶ τοὺς ἐν αὐτοῖς Τροφίμȣς διὶ ἀγωγῆς καὶ Διδασκαλίας παρασκευάζειν πρὸς τὸ εἰς Ἱερὰς τάξεις εἰσάγεσθαι. (Σωζόμ: ἐν Βιβλ: ς΄. Κεφαλ: ΛΑ΄.)

Πάλαι

Πάλαι μὲν τὸ Δικαίωμα τόδε τῷ Ἐπαρχιακῷ ἐπανῆκον τῷ Ἐπισκόπῳ, οἷον δὴ εἶχον οἱ θεῖοι Ἀπόστολοι: Τιμόθεος μὲν ἐν Ἀσίᾳ, Τῖτος δ᾽ ἐν Κρήτῃ. Ὕστερον δὲ, ἄχρις ἐπὶ τῆς ἐν Νικαίᾳ Συνόδου, οἱ Ἀλεξανδρείας Ἐπίσκοποι, ἔν τε Αἰγύπτῳ, κἀν τῇ Μαρεώτιδι. Οἱ δὲ τοιοῦτοι, καὶ τῆς Ἐπαρχίας ἐλέγοντο Ἔξαρχοι, καὶ Ἀρχιεπίσκοποι. Ἡ δὲ τοι τοῦ Ἀρχιεπισκόπου ἐξουσία, Ἰσοδύναμος ἐστὶ τῇ τοῦ Μητροπολίτου, (Σωζόμ: Βιβλ: ς'. Κεφ: ΚΑ'.)

## Ὀφφίκιον τοῦ Μητροπολίτου.

## §. 342.

Μητροπολίτης ἀκούει, ὁ ἐπὶ τῆς Διοικήσεως πρωτεύων Ἐπίσκοπος. ὀφείλει δὲ πάντα ἐφορᾷν τὰ ὑπὸ τῶν λοιπῶν Ἐπισκόπων πραττόμενα· οἷον τὸ τηρεῖν αὐτοὺς τὰς τῆς Ἐκκλησίας παραδόσεις· τὸ ἐπιμελῶς μετιέναι τὸ καθ᾽ ἑαυτοὺς ἔργον, καὶ μένειν ἐντὸς τῶν ὅρων τοῦ ἰδίου αὐτῶν ἐπαγγέλματος. Ἀλλ᾽ ἔν γε ταῖς Πράξεσι ταῖς ὁλοτελῆ ἀπαιτούσαις τὴν ἐκπεραίωσιν, οὔθ᾽ οἱ Ἐπίσκοποι ἄνευ τοῦ Μητροπολίτου, οὔθ᾽ ὁ Μητροπολίτης τῶν Ἐπισκόπων ἄνευ, οἷοί τε εἰσὶ τι ἀπεκτελεῖν:

λεῖν: οἷον, φέρε, Σιώοδον Ἐπαρχιακὴν συγκροτεῖν, καὶ Θεσμόν τινα ἐν ταύτῃ ἐπικυρῦν, καὶ Ἐπίσκοπον χειροτονεῖν. Ἐν τύτῳ γὰρ, κἂν τοσῦτον ὁ Μητροπολίτης ἔχοι ἐξυσίας τε καὶ διωάμεως, ὥςε χωρὶς αὐτῦ τῆς ἐπιδοκιμοσίας, μὴ ἔχειν τὸν Χειροτονηθέντα ὡς Ἐπίσκοπον ἐπιγιγνώσκεσθαι· ἀλλ' ὐδ' ὁ Μητροπολίτης ἀνάπαλιν αὐτὸς ἐξυσίαν ἔχει χειροτονῆσαι, τῆς τῶν λοιπῶν ἄνευ Ἐπισκόπων συγκατανεύσεως. (Ἡ ἐν Καθαργ: Β΄. Σιώοδος, ἐν Καν: ΙΒ΄. Καὶ ἡ ἐν Χαλκηδόνι, Καν: ΙΒ΄. Καὶ ἡ ἐν Νικαίᾳ, Καν: Δ΄. καὶ ϛ΄. Καὶ ἡ ἐν Ἀντιοχ: Καν: ΙΘ΄. Καὶ ἡ ἐν Λαοδικ: Καν: ΙΒ΄.) — 2) Τὰς οἵας δήποτε διενέξεις, τὰς μεταξὺ τῶν Ἐπισκόπων ἐπαναφυομένας ἐν τῇ Ἐπαρχίᾳ ἀποκόπτειν· καὶ τὰς παρὰ τῦ Κλήρυ ἀπαιτήσεις πρὸς τὺς ἰδίυς αὐτῦ Ἐπισκόπυς δέχεσθαί τε καὶ διαλύειν: τύτων γε μιὼ τὰς ἐπαχθεςέρας, ὐκ ἄνευ καὶ τῆς παρὰ τῶν ἄλλων Ἐπισκόπων Σιωαινέσεως. (τῆς Σαρδικ: Σιωόδ: Καν: ΙΔ΄.) — 3) Περὶ τῶν Χηρευυσῶν Ἐπισκόπυ Διοικήσεων μανθάνειν. — 4) Τὰς τῶν Διοικήσεων προσόδυς ἐπισκοπεῖν. (Σιωόδ. τῆς ἐν Χαλκηδ: Καν: ΚΕ΄.) — 5) Τὰ Βασιλικὰ

σιλικὰ Ἐπιτάγματα διαγγέλλειν, καὶ τὰ Θεσμὰ τὰ Συνοδικὰ καὶ Πατριαρχικὰ καὶ μὲν δὴ, καὶ προσεξετάζειν εἰ συντελῶνται. (Ἰȣςινιαν: Νεαρᾷ ς΄. καὶ ΜΒ΄. περὶ τὸ τέρμα.)

Πρὸ τῆς τῶν Πατριαρχῶν συςάσεως ἡ Πατριαρχικὴ ἐξȣσία παρὰ τοῖς Μητροπολίταις ἰῶ. Τοιȣ͂τοι καθ᾽ ἡμᾶς οἱ Μητροπολῖται, ὅ τε Ἰβηρίας, καὶ ὁ Σερβίας (Βαλσαμ: εἰς τὴν Α΄. τῶν ἐν Κωνςαντινȣπόλει Σύνοδον.)

## Ὀφφίκιον τȣ͂ Πατριάρχȣ.

### § 343.

Ὁσαδήποτε οἱ Μητρολῖται δικαιώματα, ἐπὶ τῆς αὐτῶν Διοικήσεως ἔχοντες διετέλȣν, ταῦτα ὁ Πατριάρχης ἐπὶ ὁλοχερȣ͂ς τȣ͂ Κράτȣς ἦν ἔχων, ἤ γȣ͂ν ἐπὶ μεγαλης τινὸς καὶ ἐυρυχώρȣ τῶν ἐν τῷ Κράτει Δυνασειῶν.

1) Οἱ Πατριάρχαι τȣ̀ς Μητροπολίτας ἐψήφιζον. (ἡ ἐν Χαλκηδ: Σύνοδ: Καν: ΚΗ΄. Ἰȣςινιαν. Νεαρ: ΡΛΑ΄. Κεφ: Γ΄.)— 2) Τȣ́ς τε Μητροπολίτας, κ̀ τȣ̀ς ὑπὸ τȣ́τοις Ἐπισκόπȣς ἐπὶ Συνόδȣ συνεκάλȣν συγκρότησιν. (Θεοδ: Ἐπις: ΙΗ΄: Ἡ ἐν

Νικαίᾳ

Νικαία Β΄. Σιώοδ. Καν: ς΄. ἡ ἐν Τρέλλῳ Καν: Η΄. ἡ ἐν Ἀντιοχ: Κ΄.) — 3) Ἐφορῶντες ὅπως οἱ Μητροπολῖται, καὶ οἱ Ἐπίσκοποι, καὶ οἱ ἐκ τῶν ἄλλων τάξεων τὰ καθ᾽ ἑαυτὲς διεξῆγον, αὐτόι ἐπεδίκαζον. (Ἰες: ἐν ταῖς Νεαρ: ταῖς ἐν τῷ Κανονικῷ Δικαιώματι, Μέρ: Β΄. Κεφ: ΜΖ΄. φύλλ: 26. Καὶ Σωζόμ: Βιβλ: Ζ΄. Κεφ: Γ΄. καὶ Βιβλ: Η΄. Κεφ: ς΄.) Σωζόμενος δὲ καὶ περὶ τε Θείε Χρυσοςόμε διέξεισιν: ὅτι τὰς ἐν Ἐφέσῳ, καὶ Λυκίᾳ, καὶ Θράκῃ ἐπισκεπτόμενος Ἐκκλησίας, τριάκοντα Ἐπισκόπες, ἐπί τε ἄλλοις, καὶ διὰ μοχθηρίαν ἀναςροφῆς, καθεῖλε τε Ἀξιώματος.) — 4) Τὰ παρὰ τοῖς Μητροπολίταις ἐν ἀμφισβητήσει ςρεφόμενα, καὶ τῶν πραγμάτων τὰ ὑψηλότερά τε καὶ δυσχερέςερα διὰ Σιωοδικῆς σιωαινέσεως διεπέραινον. (Σιώοδ. ἐν Χαλκ: ἐν Καν: Θ΄. — 5) Ἀπέςελλον τινὰς Μητροπολίτας ὡς τὸ αὐτῶν παριςῶντας πρόσωπον, ἐπὶ τῆς ἰδίας Ἐπαρχίας, καὶ τέτοις ἐπέτρεπον τὰς σφίσιν ἀνηκέσας τῶν ὑποθέσεων. (Σωζόμ: . . . — 6) Τὰ παρ᾽ αὐτῶν Θεσπιζόμενα τοῖς Μητροπολίταις διέπεμπον, ὥςε διακοινώσασθαι. (Ἰεςινιαν: Νεαρᾷ ΜΖ΄.) — 7.) ὁ μέντοι Πατριάρχης

τῇ τῆς Συνόδου καὶ αὐτὸς καθυπόκειται κρίσει, πλὴν ἀλλὰ καὶ Πατριάρχου ἑτέρου τῇ Συνόδῳ παρουσιάζοντος. (Θεοδώρ: ἐν Ἐπις: ΠΑ΄.) — 8) Ἡ τοῦ Πατριάρχου ψῆφος, ἐν διαφωνίᾳ τῶν ψηφιζόντων ἐκράτει. (Συνοδ. ἡ ἐν Χαλκηδ: Καν: Λ΄.) — 9) Πρὸς αὐτὸν ἡ λύσις τῶν βαρυτέρων ἀθελημάτων ἀνήγετο. (Συνέσι: Ἐπις: ΞΖ΄.)

Καίτοι δ᾽ οὖν ὁ Πατριάρχης, καὶ ὁ Μητροπολίτης, καὶ ὁ Ἀρχιεπίσκοπος, καὶ ὁ Ἐπίσκοπος προνομίοις τισὶ διαφέροντες ἀλλήλων πως διεστέλλοντο, ἀλλ᾽ ἐν τῇ ἰδίᾳ μέντοι ἕκαστος Διοικήσει, οὐδέν τι πλέον ἢ Ἐπίσκοποι ἐτύγχανον χρηματίζοντες.

Τούτοις δὲ ἅπασι, τοῖς περὶ τὴν τοῦ Θυσιαστηρίου θεραπείαν τεταγμένοις, πρῶτόν τε καὶ κοινὸν ἐστὶν ἔργον, τὸ τὰ θεμέλια τῆς Πίστεως καὶ τοῦ Νόμου τῷ Λαῷ ὑποτιθέναι, καὶ τὰ ἤθη ἐπανορθοῦν.

# ΤΜΗ'ΜΑ ΤΡΙ'ΤΟΝ.

## ΠΕΡΙ' ΤΟ'Υ ΜΟΝΑΣΤΙΚΟ'Υ ΒΙ'ΟΥ.

### §. 344.

Ὁ Μοναςικὸς βίος, οὐδ' ἐν τῇ κατὰ Ἰȣδαίους Ἐκκλησίᾳ τὸ πάλαι ἀγνοȣ́μενος ἦν· οὐδ' ὁ θεῖος πρόδρομος Ἰωάννης, πρῶτος διετέλεσεν ὁ ȣ̔́τω βιȣ̃ν ἐναρξάμενος. Δίκαιος καὶ γὰρ ȣ̔̃τος παρὰ τῷ λαῷ ἐνομίζετο ȣ̓ δι' ἄλλο, ἢ διὰ τȣ̀ς ȣ̔́τω βιοτεύοντας, Ἁγίȣς εἶναι νομίζεσθαι· ὃ καὶ ἐκ τȣ̃ Φίλωνος καθίςαται δῆλον, τȣ̃ τὰ περὶ τȣ̃ Θεωρητικȣ̃ Βίȣ Συγγράψαντος.

Ἰȣςῖνος ὁ Μάρτυς, ὁ κατὰ τὸν δεύτερον τῶν Ἐκκλησιαςικῶν αἰώνων ἀκμάσας, περὶ Μοναχῶν τε καὶ Ἀναχωρητῶν, ἐν ταῖς πρὸς τȣ̀ς Ὀρθοδόξȣς Ἐρωταποκρίσεσιν: (ΚΑ'. καὶ ή.) Καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, ἐν τοῖς περὶ Ἐκκλησιαςικῆς Ἱεραρχίας. (Ἐν Κεφαλ: ς'.) Καὶ ὁ θεῖος Χρυσόςομος (ἐν Ὁμιλ: ΙΖ'. τῶν πρὸς τὸν Ἀντιοχ: Λαὸν· καὶ ἐν τῷ περὶ τῶν ἐπαίνων τȣ̃ Μοναςικȣ̃ Βίȣ· καὶ

ἐν

ἐν τῷ περὶ Συντριβῆς τε καὶ κατανύξεως. Κἀν τοῖς εἰς τὸν Ματθ: δὲ ὑπομνήμασιν, ἐν Ὁμιλ: Ξϛ΄. καὶ ΞΘ΄. καὶ Ο΄. καὶ ΟΒ΄) Καὶ οἱ τὰς τῶν Ἁγίων δὲ Συγγεγραφότες Βιογραφίας: Οἷον τῆς Ἁγίας Εὐγενίας, καὶ ἄλλων: μαρτυρῦσιν ὀ μόνον περὶ τῶν Μοναχῶν διειληφότες, ἀλλ᾿ ἔτι καὶ περὶ τῶν Μοναστηρίων.

§. 345.

Ἐν Τρισὶ ταῖς πρώταις τῆς Ἐκκλησίας Ἑκατονταετηρίσι, κἂν εἰ Μοναστήρια ἔχειν ἐκ ἦν ῥᾴδιον· ὅμως ὀδ᾿ αὐτὰ κομιδῇ ἐκλελοίπει, ὡς ἐκ τῶν ἀνωτέρω μαρτυριῶν φαίνεται.

§. 346.

Αἱ ἐπὶ τῶν εἰς τὴν τάξιν ταύτην εἰσαγομένων Εὐχαὶ παραπλήσιοι εἰσὶ ταῖς γινομέναις ἐν τῷ Βαπτίσματι· ἀσπάσασθαι δὲ τὴν Μοναστικὴν ἀγωγὴν, ὀδὲν ἕτερον ἐστὶν, ἢ δημοσίαν μετάνοιαν ἐπαγγείλασθαι. Ἧγε μὴν Διάταξις ἡ κατὰ ταύτην, καὶ οἱ ὅροι οἱ ἐν αὐτῇ, παρ᾿ ἡμῶν ἐνταῦθα ὀ περιγράφονται, ὅτι ἐν τοῖς τῶν Ἱερῶν Συνόδων, καὶ τῶν Πατέρων Κανόσι περιγεγράφαται· καὶ δὴ καὶ ἐν ταῖς

Ἐκκλη-

Ἐκκλησιαςικαῖς Διατυπώσεσι, κἀν ταῖς τῶν Ὁσίων Βιογραφίαις.

§. 347.

Πρὸς ἀκριβεςέραν ἐπίγνωσιν τῆς πρώτης τȣ̃ Μοναςικȣ̃ βίȣ καταβολῆς προςίθεται ὧδε, ἅπερ ἐν τῇ Ἐκκλησιαςικῇ αὐτȣ̃ Ἱςορίᾳ, διεξῆλθε Σωζόμενος. „(Βιβλ: Α΄. Κεφ: ΙΒ.) „Οὐχ ἥκιςα δ' ἐπι„σημοτάτην τὴν Ἐκκλησίαν ἔδειξαν, καὶ „τὸ δόγμα ἀνέχον ταῖς ἀρεταῖς τȣ̃ βίȣ, „οἱ τότε μετιόντες τὴν Μοναςικὴν πο„λιτείαν. Ὠφελιμώτατον γάρ τι χρῆμα „εἰς ἀνθρώπȣς ἐλθȣ̃σα παρὰ Θεȣ̃ ἡ „τοιάυτη Φιλοσοφία, μαθημάτων μὲν πολ„λῶν, κ, Διαλεκτικῆς Τεχνολογίας ἀμε„λεῖ, πόνοις δὲ τοῖς καλοῖς χαίρει, καὶ „τὸν ἀπεχόμενον τȣ̃ κακȣ̃, μὴ δρῶντα „δὲ τὸ ἀγαθὸν, Φαῦλον νομίζει. Ὀυ γὰρ „ἐπιδείκνυται ἀρετὴν, ἀλλ' ἀσκεῖ, παρ „ȣ̓δὲν ποιȣμένη τὴν πρὸς ἀνθρώπȣς δό„ξαν. Ταύτης τῆς ἀρίςης Φιλοσοφίας, „ἤρξατο μὲν, ὥς τινες λέγȣσιν, Ἠλίας ὁ „Προφήτης, κ, Ἰωάννης ὁ Βαπτιςής. Φί„λων δὲ ὁ Πυθαγόρειος ἐν τοῖς κατ' αὐ„τὸν χρόνοις ἱςορεῖ, τοὺς πανταχόθεν „Ἑβραίων ἀρίςȣς, ἔς τι χωρίον ὑπὲρ

„τὴν

„τὴν Μάρειαν λίμνην ἐπὶ γεωλόφȣ κεί-
„μενον, Φιλοσοφεῖν. Ὄικησιν δὲ αὐτῶν
„ϗ δίαιταν, ϗ διαγωγὴν τοιαύτην παρί-
„ϛησιν. Ἀλλ᾽ εἴτε Αἰγύπτιοι, εἴτε ἄλλοι
τινὲς ταύτης προέϛησαν ἐξ ἀρχῆς τῆς
Φιλοσοφίας, ἐκεῖνο γȣ̃ν παρὰ πᾶσι συνω-
μολόγηται, ὡς εἰς ἄκρον ἀκριβείας ϗ
τελειότητος, ἤθεσι ϗ γυμνασίοις τοῖς
πρέπȣσιν ἐξήσκησε ταύτην τȣ̃ βίȣ τὴν
διαγωγὴν Ἀντώνιος ὁ Μέγας Μοναχὸς˙
ὃν τηνικαῦτα διαπρέποντα, ἐν ταῖς κατ᾽
Αἴγυπτον Ἐρημίαις, κατὰ κλέος τῆς τȣ̃
Ἀνδρὸς ἀρετῆς, φίλον ἐποιήσατο Κων-
ϛαντῖνος ὁ Βασιλεὺς, ϗ γράμμασιν ἐτί-
μα, ϗ περὶ ὧν ἐδεῖτο γράφειν πρȣ̀τρέ-
πετο.

Καὶ ὁ Μέγας δὲ Βασίλειος, ἐπὶ τȣ̃ Δ΄. Αἰῶνος τȣ̀ς Μοναϛικȣ̀ς συνέγραψεν ὅρȣς, ȣ̓ τὴν τῶν Μοναζόντων διαγωγὴν ἐπεισάγων, ἀλλὰ πάλαι προεισενεχθείσῃ ὁροθετῶν. Ἀλλὰ ϗ ὁ θεῖος Χρυσόϛομος (ἐν Ὁμιλ: ΝΕ΄. τῶν εἰς τὸν Ματθ:) Ἐυχῆς τινος μέμνηται Ἐυχαριϛηρίȣ, τῆς ἔςἐ ϗ νυ̃ν ἐν τοῖς Κοινοβίοις μετά γε τὸ Ἄριϛον ἀναγινωσκομένης: Ἐυλογητὸς ὁ Θεὸς, ὁ ἐλεῶν καὶ τρέφων ἡμᾶς ἐκ νεότητος ἡμῶν κτ: Ἀποφαίνεται δ᾽ ὁ Πατὴρ τὴν

Ἐυχὴν

Ἐυχὴν ταύτην τοῖς Μοναςαῖς εἶναι σωή-θη ἀνέκαθεν. Πολλαὶ δὲ περὶ τῆς τοῦ Μοναςικοῦ Βίου ἰδέας μαρτυρίαι, ἐν τοῖς Βίοις τῶν πάλαι Πατέρων ἐνδιασώζονται.

# ΚΕΦΑΛΑΙΟΝ Ι΄.

## ΠΕΡΙ ΤΟΥ ΓΑΜΟΥ.

### §. 348.

Τοῦ Μυςηρίου τοῦδε σαφὴς ἐν τῇ θείᾳ „Γραφῇ ἡ Ἀπόδειξις „Καὶ ἐποίησεν ὁ Θεὸς „τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ ἐποίη-„σεν αὐτόν. Ἄρσεν καὶ Θῆλυ ἐποίησεν „αὐτούς. Καὶ ἐυλόγησεν αὐτοὺς ὁ Θεός λέ-„γων: αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ „πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσα-„τε αὐτῆς. (Γενέσ: Α. 27.) Ὃ οὖν ὁ Θεὸς „συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. „(Ματθ: ΙΘ΄. 6.) Οἱ Ἄνδρες ἀγαπᾶτε τὰς „Γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριςὸς „ἠγάπησε τὴν Ἐκκλησίαν. Ἵνα παραςή-„σῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, μὴ ἔχουσαν „σπίλον, ἢ ῥυτίδα . . . . Τὸ Μυςήριον „τοῦτο

„τȣ̃το μέγα ἐςὶν· ἐγὼ δὲ λέγω εἰς Χρι-
„ςὸν, καὶ εἰς τὴν Ἐκκλησίαν. (Ἐφεσ:
Ε. 25 — 32)

Ἐξ ὧν ἕπεται: 1) Ὅτι ὁ Θεὸς ποιήσας τὸν ἄνθρωπον κατὰ τὴν αὐτȣ̃ εἰκόνα, Ἄρσεν καὶ Θῆλυ, ἐυλόγησε τὸν Γάμον. Ἡ Συζυγία ἄρα αὕτη ἐποικοδομεῖται τῷ Νόμῳ, τῷ συμμορφȣ̃ντι τὴν ζωὴν τῶν συζευγνυμένων κατὰ τὰ προτεθέντα θεῖα λόγια.

2) Τὸ ἀδιάλυτον τῆς Συζυγίας ταύτης ὁ Κύριος ἡμῶν Ἰησȣ̃ς Χριςὸς προσεμπεδοῖ λόγῳ ἰχυροτάτῳ, τῶδε: Οὓς ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω: δι᾽ ȣ̃ τὸ τȣ̃ Διαζυγίȣ δικαίωμα ἀμφοτέροις ἀπηγόρευται· καὶ τῷ Ἀνδρὶ δηλονότι, καὶ τῇ Γυναικὶ ἐπίσης. Ἔνθεν τοι τὸ μοιχέυειν, ἢ τῇ μοιχείᾳ ὁπωσȣ̃ν ἐπισυνεργεῖν, κατὰ τȣ̃ θείȣ Νόμȣ προδήλως ἐςὶν αντιφέρεσθαι.

3) Τὰ τȣ̃ Ἀποςόλȣ Παύλȣ ῥήματα, τὴν τῆς Συζυγίας ταύτης ἁγιότητα ἀναπτύσσοντα, τὸν Χριςὸν ἐμφαίνει ἀνακαινίζοντα ἐπὶ τοῖς ȣ̃τω συζευγνυμένοις· καὶ ἀποκαθιςῶντα τὴν τȣ̃ Θεȣ̃ εἰκόνα τε καὶ ὁμοίωσιν· ἡ δὲ τῆς ἀγάπης ἀκεραιότης, τῆς μεταξὺ τȣ̃ Ἀνδρὸς καὶ τῆς

Γυναικὸς τὴν τῆς τοῦ Χριστοῦ Ἀγαπήσεως παρίστησιν Ἁγιότητα, τῆς πρὸς τὴν Ἐκκλησίαν: ἧς τὸ θεμέλιον ἀποδεικνύουσιν ἐκεῖνα τὰ ῥήματα προσεθέντα: *Ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, μὴ ἔχουσαν σπῖλον, ἢ ῥυτίδα· ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος.* Καὶ ἐπὶ τῷ τοιῷδε δὴ θεμελίῳ Παῦλος ὁ θεηγόρος, ἀποκαλεῖ τὸν Ἄνδρα τῆς Γυναικὸς κεφαλὴν, καὶ τὸν Γάμον ὀνομάζει Μυστήριον Μέγα· ἡ γὰρ ἀκεραιότης καὶ Ἁγιότης διὰ τῶν τῆς χάριτος κατορθοῦνται ἐνεργημάτων, δι᾽ ὧν, εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν ἀναγομένων, τὸ ἔνδοξον καταγγέλλει τῆς τῶν Συζύγων καταστάσεως· ὥστε μηδαμῶς ὑπὸ τῆς ἡδυπαθείας αὐτοὺς κινεῖσθαι· ἀλλ᾽ ὑπὸ τῆς τοῦ Ἰησοῦ Χριστοῦ χάριτος, ὥσπερ τὸ Ἄῤῥεν, οὕτω καὶ τὸ Θῆλυ ἐπίσης ἄγεσθαι· οὐχὶ σφᾶς αὐτοὺς μόνους, ἀλλὰ καὶ τὰ ἐξ αὐτῶν τέκνα παρασκευάζοντας, βίου τε τοῦ καθ᾽ αὐτοὺς ὑποδείγματι, καὶ ταῖς καλαῖς εἰσηγήσεσι, Χριστιανοὺς γίνεσθαι τελείους, καὶ υἱοὺς Θεοῦ, καὶ κληρονόμους ζωῆς αἰωνίου, εἰς τὸ καὶ ἐν τούτοις τὴν βουλὴν πληρωθῆναι τοῦ πλάσαντος, καὶ ἐξαγοράσαντος. Τοῖς γὰρ εἰς γάμον συναπτομένοις, καὶ κατὰ τὰς ἐπιθυμίας τῆς σαρκὸς ζῶσι,

κἂν

κἂν τέκνα γένηται, τὰ πολλὰ γεμιῶ τοιαῦτα γεννᾶται, ὡς περὶ αὐτῶν ἐξεῖναι, τὸ ὑπὸ τȣ̃ Χριςȣ̃ ῥηθὲν ἐπιφθέγξασθαι ἐκεῖνο: καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. (Ματθ: Κϛ́. 24.)

1) Τοῖς ἄρα τὸν Γάμον μετιȣ̃σι, θεμελίȣ δίκην, ȣ̓χὶ τὴν λαγνείαν, ἀλλὰ τὴν κατὰ Χριςὸν ἐν ἀρετῇ πολιτείαν, ὑποβλητέον: ὡς κ̀ τὸν Ἄνδρα διὰ τὴν ἀρετὴν ἀγαπᾷν τὴν Γυναῖκα, κ̀ τὴν Γυναῖκα ἐν τῷ Ἀνδρὶ, τὴν ἀρετὴν ὡσαύτως ἄγασθαι, καὶ διὰ τιμῆς ἄγειν.

2) Δεῖ δὲ τȣ̀ς εἰς Γάμȣ κοινωνίαν ἐλθόντας ἀλλήλοις προσέχειν, καὶ τὰς ἰδίας ἑαυτῶν πράξεις ἐν Ἁγιότητι νομίμῳ συνεφαρμόζειν.

3) Καὶ τὰ τέκνα δὲ αὐτῶν ἀπὸ γενετῆς, τῷ καθ᾽ ἑαυτȣ̀ς παραδείγματι, πρὸς βίȣ ἁγιότητα διεξάγειν, καὶ ἐξ ἁπαλῶν ὀνύχων εἰς τήρησιν τοῦ θείȣ Νόμȣ προσεθίζοντας παρασκευάζειν.

4) Οὕτω καὶ σφίσιν αὐτοῖς, κἀπὶ τοῖς ἰδιοις αὐτῶν γεννήμασι, τὴν εὐδοκίαν ἔσονται πληρȣ̃ντες τȣ̃ Πλάσαντος· οὕτω σφᾶς τε δὴ, καὶ τὰ τέκνα, τῇτε Ἐκκλησίᾳ, κ̀ τῇ Πατρίδι, πρὸς ὄνησιν ἀποδώσȣσιν. Οὕτω κ̀ τέκνα ἐν γονεῦσι,

καὶ

καὶ γονεῖς ἐν τέκνοις εὐδαιμονήσουσιν. Οὕτως ἐν ἁπάσαις ταῖς αὐτῶν τοῦ βίου ἡμέραις τὴν εὐλογίαν τὴν παρὰ τοῦ Θεοῦ ἐπισπάσονται. Οὕτω καὶ τῶν τεκόντων οἱ κάματοι πρὸς τῶν γεννημένων εὐκαίρως ἀποκουφισθήσονται, κἂν ξενοχωρίαις ἔτι ἐφηδομένων (εἰ μηδὲν ἄλλο) ἐκείνων, ἐπὶ τῇ τούτων χρηστοηθείᾳ τε καὶ ἀκεραιότητι. Οἱ τοιοίδε γονεῖς, ἔν τε τῇ παρούσῃ λήξει, κἂν τῇ μελλούσῃ δὲ τῇ αἰωνίῳ οὐχ ἥκιστα, οὐκ ἂν ἐπαισχυνθεῖεν τῷ Θεῷ ἐξομολογήσασθαι: Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅμοι ἔδωκας Κύριε.

Πρὸς ἀνάπτυξιν τῆς ἀληθείας ταύτης φέρει τὰ ὑπὸ τοῦ Χρυσοῤῥήμονος εἰρημένα Πατρὸς, εἰς τὴν πρὸς Ἐφεσίους Ἐπιστολήν. Κἂν τοῖς Ἠθικ: Κ'. Καὶ τὰ ἐν ταῖς δυσὶν Ὁμιλίαις τῆς Κυριακῆς τῆς ἐν τῇ ΙΒ'. Ἑβδομάδι, μετὰ τὴν Πεντηκοστήν. Καὶ δὴ, καὶ ἡ περὶ τὸ τέλος ἐκείνων πρὸς τοὺς γαμεῖν αἱρουμένους Παραίνεσις.

---

ΤΜΗΜΑ

# ΤΜΗ͂ΜΑ ΠΡΩ͂ΤΟΝ

## ΠΕΡῚ ΤΩ͂Ν ΜΝΗ͂ΣΤΡΩΝ: Ἤ́ΤΟΙ ΠΕΡῚ ΤΗ͂Σ ΤΩ͂Ν ΔΑΚΤΥΛΊΩΝ ΜΕΤΑΜΕΊΨΕΩΣ.

§. 329.

1) Μετὰ τὴν θείαν Λειτουργίαν, τοῦ Ἱερέως ἔσωτος ἐν τῷ Ἱερατείῳ παρίσανται οἱ μέλλοντες εἰς γάμον συζεύγνυσθαι. Ἀρχαῖον δὲ τὸ ἔθος, τοὺς συζευχθησομένους τὴν παρὰ τῆς Ἐκκλησίας εὐλογίαν ἐπιδέχεσθαι. (Τερτυλλ: πρὸς τὴν Σύζυγον, Βιβλ: Β'. Κεφαλ: Γ'. Καὶ περὶ Μονογαμίας, Κεφαλ: ΙΑ'. Καὶ Ἀμβρόσ: Ἐπις: Ο'. Καὶ ὁ Θεοφόρ: Ἰγνάτιος ἐν Ἐπις: πρὸς Πολύκαρπον. Καὶ ὁ Ναζιανζ: Γρηγόριος, Ἐπις: ΝΖ.)

2) Λαβὼν ὁ Ἱερεὺς τοὺς Δακτυλίους, ἐπιδίδωσι πρῶτον τῷ Ἀνδρὶ τὸν χρυσοῦν, εἶτα τὸν ἀργύρεον τῇ Γυναικὶ δι' οὗ δηλοῦται ἥτε τοῦ Ἀνδρὸς ὑπεροχὴ, καὶ ἡ αὐτῷ πρὸς τῆς Γυναικὸς ἐποφειλομένη πειθάρχησις. Τέως δὲ αὐτοῖς ἐπεύχεται ὑγίειάν τε καὶ εὐτεκνίαν, καὶ διαγωγὴν ἄμεμπτόν τε καὶ ἀνεπίληπτον.

3) Εἰσίασι τὴν Ἐκκλησίαν οἱ Νυμφευόμενοι, τὰς δεξιὰς ἀλλήλων ἅμα κατέχοντες. Ὁ δὲ Τερτυλλιανὸς, ἐν τῷ περὶ τοῦ καλύπτεσθαι δεῖν τὰς Παρθένους γράφων φησίν: ὅτι διὰ τῆς τῶν δεξιῶν συναφείας, καὶ σώματι καὶ ψυχῇ τῷ Νυμφίῳ ἡ Νύμφη συνάπτεται. Ὅρα καὶ Ναζιανζ: Ἐπιστ: ΝΖ΄.

4) Εἶτα ἐναλλάσσονται οἱ δακτύλιοι τῶν Νεονύμφων: καὶ ὁ μὲν χρυσοῦς δίδοται τῇ Γυναικὶ, ὁ δὲ Ἀργυροῦς τῷ Ἀνδρί. Σημαίνει δὲ ἡ μετάμειψις τὴν τοῦ Ἀνδρὸς μετὰ τῆς Γυναικὸς ἕνωσιν καὶ ὁμόνοιαν· (Τερτυλλ: ἐν τῷ Ἀπολογητ: Κεφ: ϛ΄. Καὶ ἐν τῷ περὶ Εἰδωλολατρείας. Κεφ: Ιϛ΄.

5) Πρὸ τῶν Μνήστρων δίδονται λαμπάδες ἀνημμέναι τοῖς Μνηστευθησομένοις. Ἐξ οὗ δηλοῦται, ἡ ἀμφοτέρων ἐν ἁγνίᾳ καὶ καθαρότητι παρθενία. (Συμ: ὁ Θεσσαλον: Κεφ: ΣΟΘ΄.

---

ΤΜΗ̃ΜΑ

# ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

## ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΩΜΑΤΟΣ.

§. 350.

1) Ἐν ἀρχῇ ψάλλεται: Μακάριοι οἱ φοβέμενοι τὸν Κύριον. Διὰ δὲ τȣ ψαλμȣ τȣτȣ τὸ Στεφάνωμα ἄρχεται, πρὸς ὑπόμνησιν, τȣ τὸν Γάμον τίμιον ἔσεσθαι, καὶ τὴν κοίτην ἀμίαντον, τῶν συναφθησομένων, ὡς βάσιν τῆς ἑαυτῶν βιοτῆς καθυποβαλλόντων τὸν τȣ Θεȣ φόβον. Διὸ καὶ τῆς παρὰ Θεȣ, ἐλπὶς ἐςὶν αὐτοῖς, ἐυλογίας ἐπιτεύξεσθαι, τῆς προσηκȣσης τοῖς ἐν συζυγίᾳ γάμȣ ναμίμως συμβιοτεύȣσι. Τηνικαῦτα δὲ, ἐξ ἀρχαίȣ ἔθȣς, δέον ἔχειν τὰς Νυμφευομένας τὴν κόμην ἄνετον· (Ὀπτάτος ἐν Βιβλ: ϛ΄. καὶ Ἱερώνυμος ἐν Ἐπις: ηΓ΄. τῇ πρὸς Σαβινιανὸν.

2) Ὁ Ἱερεὺς πυνθάνεται τȣ Νυμφίȣ, καὶ τῆς Νύμφης, εἰ ἀμοιβαδὸν συγκατανέυοντές εἰσὶν εἰς Γάμȣ κοινωνίαν ἐλθεῖν; Συγκατατεθέντων δὲ, καὶ διαπιςωσαμένων ἐνώπιον τȣ Ἐυαγγελίȣ καὶ τῆς

Ἐκκλησίας, ἀρχὴ γίνεται τῆς τελετῆς τȣ̃ στεφανώματος.

3) Ἐπεύχεται αὐτοῖς ὁ Ἱερεὺς τὴν ἐκ Θεȣ̃ εὐλογίαν καὶ χάριν, εἰς ἐκπλήρωσιν τῶν αὐτοῖς καθηκόντων, καὶ πρὸς παιδοποιΐας εὐτέκνȣ ἀπόλαυσιν. (Τερτυλ: πρὸς τὴν Σύζυγον, Τμημ: ϛ΄. Καὶ ἐν τῷ περὶ Αἰδημοσιώης, Κεφ: Δ΄. Καὶ ὁ θεῖος Χρυσός: ἐν Ὁμιλ: ΜΗ΄. τῶν εἰς τὴν Γένεσιν.

4) Ἐπιτίθησι τὰ Στέφανα τῷ τε Νυμφίῳ καὶ τῇ Νύμφῃ ἐκ τρίτȣ, λέγων: Κύριε ὁ Θεὸς ἡμῶν, δόξῃ καὶ τιμῇ στεφάνωσον αὐτȣ̀ς. Ἐτηρεῖτο δὲ ἡ ταξις καὶ ἐπὶ τȣ̃ Γ΄. τῆς Ἐκκλησίας Αἰῶνος· ὅ,τε θεῖος Χρυσόσομος ἀποδίδωσι τὸν λόγον (ἐν τῇ Θ΄. Ἰῶν Ὁμιλ: τῇ εἰς τὸ Α΄. Κεφάλ: τῆς Α΄. πρὸς Τιμόθ:) φάσκων: Ὁ πρὸ τȣ̃ γάμȣ σωφρονῶν, πολλῷ μᾶλλον μετὰ τὸν γάμον. Διὰ τȣ̃το Στέφανοι ταῖς κεφαλαῖς ἐπιτίθενται. Σύμβολον τῆς νίκης, ὅτι ἀήττητοι γενόμενοι, ȣ̃τω προσέρχονται τῇ εὐνῇ. (Ὅρα καὶ Τερτυλλιανὸν, ἐν τῷ περὶ τȣ̃ Στεφάνȣ.

5) Εἶτα ἀναγινώσκεται ἡ Παύλȣ Ἐπιςολὴ, (ἡ πρὸς Ἐφεσ: Κεφαλ: Ε΄. 20.) ἐν ᾗ καταλέγονται ἃ τῷ Ἀνδρὶ καὶ τῇ Γυναικὶ καθήκει. Μετὰ δὲ τὸν Ἀπόσολον,

λον, τὸ Ἱερὸν Εὐαγγέλιον, ὃ τῆς Ἱεροτελεςίας ταύτης ἀποδείκνυσι τὴν ἀρχαιότητα ἅμα καὶ ἁγιότητα.

6) Ἑκατέροις δ᾽ ὁ Ἱερεὺς τὸ Ποτήριον προσφέρει, τὸ οἶνον ἔχον ἀνάκραλον ὕδατι: δὶ ὃ δηλοῦται τὸ ἀδιάλυτον τῆς αὐτῶν συνδιαιτήσεως, καὶ τὸ ἀμοιβαῖον τῆς ὑπὲρ ἀλλήλων, καὶ τῶν τεχθησομένων, καὶ τοῦ οἴκου, ἐπιμελείας· καὶ ἡ εὐφροσύνη, ἡ ἐκ τῆς ἀντιδιδομένης ἐπαμοίβδην ὁμοφροσύνης ἐξανακύπτουσα. Τὸ δ᾽ αὐτὸ, καὶ τὴν ἀνάμνησιν ἀνακαλεῖται, τῆς ἐπὶ τοῦ ἐν Κανᾶ τῆς Γαλιλαίας Γάμου, μεταβολῆς εἰς οἶνον τοῦ ὕδατος. (Ἰωάν: Κεφαλ: Β΄.

7.) Τελευταῖον δὲ καὶ εἰς κύκλον αὐτοὺς ὁ Ἱερεὺς περιάγει. Ὁ γὰρ κύκλος, ἅτε διατυπῶν τὴν αἰωνιότητα, τὸ ἀδιάλυτον ἐμφαίνει τῆς τῶν Συζευγνυμένων συμπλοκῆς καὶ ἑνώσεως. Ἥ τε γὰρ Γυνὴ τῷ αὐτῆς Ἀνδρὶ συνδέδεται κατὰ νόμον, ἕως ἂν οὗτος ὑπάρχῃ ζῶν, καὶ ὁ Ἀνὴρ τῇ Γυναικὶ ὡσαύτως. (Α΄. Κορινθ: Κεφ: Ζ. 39.) Χορεία τις οὖν ἐςὶν αὕτη, μυςικώτερόν τι δηλοῦσα, μηδέ τι κοινὸν ἔχουσα πρὸς τὰς ἀτάκτους τε καὶ ἀσέμνους ὀρχήσεις, ἃς καὶ οἴκοις παρ᾽ ἑαυτοῖς κρο-

τεῖν, τοῖς εὐσεβέσιν ἀπείρηται. (Ὅρα τῆς ἐν Λαοδικ: Συνόδ: Καν: ΝΓ΄. καὶ Χρυσός: ἐν Ὁμιλ: ΜΗ΄. καὶ Νϛ΄. τῶν εἰς τὴν Γένεσιν.)

8) Ἐν μὲν τῇ πρώτῃ περιελεύσει ψάλλεται τὸ Τροπάριον: Ἠσαΐα χόρευε κτ: δι᾽ οὗ ἡ Ἐκκλησία διασημαίνει τὴν τοῦ Κυρίου εὐλογίαν ἐπὶ τοὺς Συζύγους, τοὺς θεμέλιον οὐσιώδη τοῦ Μυστηρίου τούτου, τὸ, κατὰ τὴν τοῦ Σωτῆρος Διδασκαλίαν, βιοῦν δεῖν ἡγουμένους, καὶ διὰ τῆς θείας χάριτος, καὶ εὐτεκνίας τυχεῖν ἐλπίζοντας.

9) Ἐν δὲ τῇ δευτέρᾳ περιφορᾷ, ψάλλεται τό: Ἅγιοι Μάρτυρες κτ: Δι᾽ οὗ ἐμφαίνεται, ὅτι τὸν βίον διατετηρήκασιν ἄσπιλον οἱ Νυμφευόμενοι, ἐν ἀκεραιότητι διαπρέψαντες· ὅθεν καὶ Στεφανοῦνται. Προτίθεται δὲ αὐτοῖς τὸ τῶν Ἁγίων παράδειγμα, τὸ ἐνάγον αὐτοὺς ἐπιδιαμένειν τῇ πίστει, καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ, καὶ πειρασμῶν παντοίων ἐπερχομένων γίνεσθαι κρείσσονας.

10) Ἐν δέ τῇ τρίτῃ, τό: Δόξα Σοι Χριστὲ ὁ Θεὸς κτ:, ὅτι ἀλλήλους αὐτοὶ διὰ τῆς Εὐαγγελικῆς Διδασκαλίας εἰς ἀρετὴν ἐπιστηρίζειν ὀφείλουσι, καὶ ἐπ᾽ ἀρετῇ πρὸ πάντων τοῦ Γάμου τὸν δεσμὸν ἐποικοδομεῖν

μεῖν· καὶ τέκνοις τοῖς ἑαυτῶν, καὶ οἰκέταις τοῖς παρ᾽ αὐτοῖς ἀναπτύσσειν, ἅπαν τὸ τυχὸν νικῶντες προσιςάμενον κώλυμα.

11) Τῷ δὲ τριττῷ τῆς περιελεύσεως, βεβαίως τὰ καθυπισχνέμενα τηρήσειν πιςοποιῦσιν.

12) Μετὰ ταῦτα ὁ Ἱερεὺς μεταδίδωσιν αὐτοῖς τῆς Εὐλογίας· ὡς ἂν κ᾽ πρὸς αὐτὲς ὁ Θεὸς ἐκπληρώσειε τὴν ἐπαγγελίαν, ἣν τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακὼβ ἐπηγγείλατο.

13) Ἐπὶ τῆς Ἀπολύσεως μνεία γίνεται τῶν Φιλοχρίςων Βασιλέων Κωνςαντίνε καὶ Ἑλένης, ὡς περὶ τὴν διάδοσιν σπεδασάντων τῆς ὀρθοδόξε Πίςεως· γίγνεται δὲ μνεία καὶ τε Μεγαλομάρτυρος Προκοπίε· διότι τὄνομα καθ᾽ αὐτὸ τῦτο, τὴν ἐπὶ τἀγαθὰ σημαίνει προκοπὴν, ἤτοι προαγωγὴν καὶ ἐπίδοσιν· ἢ μᾶλλον, ὅτι ἡ κατὰ τὴν τελετὴν ταύτην διατύπωσις ἐπιδιρθωθεῖσα εἰς τὸ τελεώτερον προενήνεκται, κατὰ τὴν ἡμέραν τῆς ἑορτῆς τέτε τε Μάρτυρος, καθ᾽ ἣν πρόσωπάτινα τῶν ἐπιφανεςέρων νυμφεύεσθαι συνεκύρησε· τῆς γὰρ διατάξεως τῆσδε ταύτα ἐπεγκριθείσης, τὸ ἀπ᾽ ἐκείνε μηδὲ

τὴν

τὴν ἐπίκλησιν τοῦ Ἁγίου παραλείπεσθαι, ἐπεκράτησεν.

14) Ἡ Εὐχή, ἡ ἐπὶ τῆς λύσεως τῶν Στεφάνων τῇ ὀγδόῃ ἡμέρᾳ γίνεται. Ἔθος γὰρ ὑπῆρχεν ἀρχαῖον τῇ Ἐκκλησίᾳ, τοὺς Μυστηρίου τινὸς μεταχόντας, ἢ τινὸς ἐπισήμου χάριτος θείας καταξιωθέντας, δι' ἡμερῶν ἑπτὰ ἐγκράτειαν ἐπασκεῖν, καὶ εὔχεσθαι· καθάπερ οὖν καὶ οἱ βαπτισθέντες, τῇ ὀγδόῃ ἡμέρᾳ τὴν λευκὴν ἐσθῆτα ἀπετίθεντο. Διὰ τοῦτο καὶ τοὺς ἐν γάμῳ στεφανωθέντας ὥρισαν ἑπταήμερον ἐγκρατεύεσθαι, καὶ προσεύχεσθαι.

15) Ἀπ' ἀρχαίων ὥρισαν χρόνων, εὐλογεῖσθαι τὸν Γάμον ἐν Ἐκκλησίᾳ τελούμενον. — 1.) Ὡς ἂν ᾖ βεβαιότερον, ὅτι τὸ Μυστήριον τοῦτο, οὐκ ἄνευ τῆς παρὰ Θεοῦ εὐλογίας συνεργούσης συνίσταται. — 2.) Ἵνα ᾖ μάρτυς ἡ Ἐκκλησία, τῆς ἑκουσίας τε καὶ ἀπαραβιάστου τῶν νυμφευομένων Συνθήκης, καὶ πόῤῥω τῆς τοιᾶσδε πράξεως ἀπείη ῥᾳδιουργία πᾶσα καὶ διχόνοια. — 3) Ἵνα διὰ τῆς Ἐκκλησίας στεῤῥὸν ᾖ καὶ ἔμπεδον, ὅτι ὁ τελούμενος Γάμος ἐστὶν ἔννομος. — 4.) Καὶ τῶν ὑποβολιμαίων οὕτως ἀντιδιαστέλλοιτο τὰ γνήσιά τε καὶ νόμιμα τέκνα. — 5.) Ἵνα ὅ τε Ἀνὴρ

νὴρ, καὶ ἡ Γαμετὴ σιωορᾶν ἔχοιεν, ᾧτινι, καὶ, ὅπερ κατενώπιον καθυπέσχοντο. Διὸ καὶ τὰ λαθραῖα τῶν Σιωοικεσίων ἀπηγόρευται. Ὁ γοῦν Τερτυλλιανὸς, ἐν τῷ περὶ τῆ Γάμε, ἱςορεῖ: ὅτι, παρὰ Ῥωμαίοις, ἐξ ἀρχῆς, διαζύγιον ἐδὲν ἤκεσο: μετὰ δὲ πεντακοσίες ἐνιαυτὲς, ἀπὸ καταβολῆς τῆ Ἄςεος, ἡ τοιάδε ὠμότης ἐπέφανεν.

# ΚΕΦΑ'ΛΑΙΟΝ ΙΑ'.

## ΠΕΡΙ' ΤΗ͂Σ ΤΕΛΕΥΤΑΙ'ΑΣ ΧΡΙ'ΣΕΩΣ
## ἤτοι
## ΠΕΡΙ' ΤΟΥ͂ ΕΥ'ΧΕΛΑΙ'ΟΥ.

§. 351.

1) Τὴν τῆ Μυςηρίε τέτε τελετεργίαν, διὰ τῆς τῆ Ἀποςόλε Ἰακώβε Ἐπιςολῆς, (Κεφ: Ε'. 14. 15.) σαφῶς ἡ Ἐκκλησία παρέλαβεν. „Ἀθενεῖ τις ἐν ὑ„μῖν; προσκαλεσάσθω τὲς Πρεσβυτέρες „τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν „ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν „τῷ ὀνόματι τῆ Κυρίε. Καὶ ἡ εὐχὴ τῆς

„Πίςε-

„Πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγε-
„ρεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ
„πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Εἰς ἣν
δὴ περικοπὴν, ὁ Θεῖος Χρυσόστομος (ἐν
τοῖς περὶ Ἱερωσύνης . . . ) καλῶς ἐπι-
„στήσας φησί: Πλέον δυνάμεως τοῖς Ἱερεῦ-
„σι τὸν Θεὸν δεδωκέναι, ἢ τοῖς κατὰ
„φύσιν γονεῦσι· ψυχὴν γὰρ ἐκεῖνοι νοσοῦ-
„σαν, καὶ ἀπολέσθαι τὰ πολλὰ κινδυνεύου-
„σαν διεφύλαξαν: τοῖς μὲν, κουφοτέραν
„ποινὴν ὁρισάμενοι, τοῖς δὲ, οὐ μόνον δι-
„δασκαλίᾳ τε καὶ ὑποθήκῃ, ἀλλὰ καὶ προ-
„σευχαῖς ἐπαμύνοντες. Ἡ δὲ χρῆσις τῆς
τοιαύτης ἁγιαστείας, ἐξ αὐτῶν τῶν τοῦ
Κυρίου ἀναφαίνεται χρόνων. Ὡς γὰρ
Μάρκος ὁ Εὐαγγελιστὴς μαρτυρεῖ: (Κεφ:
ς΄. 13.) πολλοὺς, οἱ Ἀπόστολοι, ἀῤῥώστους ἤλει-
φον ἐλαίῳ, καὶ ἐθεράπευον.

2) Τῷ δὲ ἐλαίῳ οἶνος συμμίγνυται,
κατὰ τύπον τὸν τοῦ ἐν τῇ Παραβολῇ
Σαμαρείτου, ὃς ἐπὶ τῷ ὑπὸ τῶν λῃστῶν
τραυματισθέντι ἐκείνῳ, ἔλαιον ἐπέχεε καὶ οἶνον.
(Συμ: Θεσσαλ: Κεφ: ΣΠΗ΄.)

3) Διετάξατο δ' ἡ Ἐκκλησία, εἰς τε-
λετὴν τοῦ Μυστηρίου τοῦδε, Ἱερεῖς παρεῖναι
ἑπτὰ, ὅτι καὶ ἡ ἐν αὐτῷ Ἱεροπραξία εἰς
ἑπτὰ μεμέρισται τμήματα. Καίτοι γε,
κατ'

κατ᾿ ἔλλειψιν Ἱερέων, καὶ δύο ἐκτελεῖν αὐτὸ δύνανται.

4) Ὁ δὲ ἑπταδικὸς ἀριθμὸς ἀνάγεται ἐπὶ τὰ ἑπτὰ τοῦ Πνεύματος χαρίσματα, περὶ ὧν Ἡσαΐας προηγόρευσεν ὁ Προφήτης: Καὶ ἐπὶ τοὺς ἑπτὰ Ἱερεῖς τοὺς τὴν Ἱεριχὼ ἑπτάκις περικυκλώσαντας. (Συμ: Θεσσαλ: Κεφ: ΣΠΔ΄.)

# ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

## ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΝΑΩΝ ΚΑΘΙΕΡΩΣΕΩΣ ἤτοι: ΠΕΡΙ ἘΓΚΑΙΝΙΩΝ.

### §. 352.

1) Ἐν τῷ πρώτῳ Κεφαλαίῳ τοῦ ἀνὰ χεῖρας Βιβλίου, ἀποχρώντως τὰ περὶ τῆς τῶν θείων Ναῶν οἰκοδομήσεως ἡμῖν ἀνεπτύχθη· οἱ δὲ Ναοὶ καθιεροῦντο Θεῷ, οὐ μόνον ἐπὶ τῷ ἐν τούτοις δεήσεις αὐτῷ καὶ Ἱκεσίας προσάγεσθαι, ἀλλὰ καὶ τὰ Μυστήρια ἐν αὐτοῖς ἐπιτελεῖσθαι.

Ὁ τοίνυν Εὐσέβιος (ἐν Βιβλ: Ι΄. τῆς Ἱσορ: Κεφ: Γ΄. καὶ Δ΄. Καὶ ἐν τῷ Δ΄. δὲ τῶν

τῶν περὶ τȣ̃ Βίȣ Κωνςαντ: Κεφ: ΜΓ΄.) περὶ τῆς τῶν Ναῶν διέξεισι καθιερώσεως, ὡς περὶ Ἱεροτελεςίας ἤδη συνήθȣς τῇ τȣ̃ Χριςοῦ Ἐκκλησίᾳ γίνεσθαι. Καὶ περὶ τȣ́τȣ δὲ καὶ Σωκράτης ἔγραψε, (Βιβλ: Α΄. Κεφ: ΚΗ΄.) Καὶ Σωζόμενος, (Βιβλ: Β΄. Κεφ: Κϛ.) Καὶ Θεοδώρητος, Βιβλ: Α΄. Κεφαλ: ΛΑ΄.) Καὶ Ἀμβρόσιος, (Ἐν τῷ περὶ Παρθενίας, περὶ τὸ τȣ̃ Βιβλίȣ τέρμα.) Καὶ Ἀθανάσιος, (ἐν τῇ Α΄. τῶν Ἀπολογιῶν πρὸς Κωνςάντιον.)

2) Οὐδένα θέμις ἦν Ναὸν οἰκοδομεῖσθαι, ἄνευ εὐλογίας τῆς τȣ̃ Ἐπισκόπȣ. (Συνόδ: ἡ ἐν Χαλκηδ: Καν: Δ΄.)

3) Ἐν καιροῖς διωγμῶν, καὶ ἐι λάθρα τῶν διωκτῶν, ἔνθαπερ ἂν ἐξῆν, οἱ Ναοὶ ἐδομοῦντο· ἀλλὰ καὶ τηνικαῦτα ἐπὶ τοῖς τῶν Μαρτύρων εἰώθεσαν ἀνεγείρεσθαι Τύμβοις. Καὶ κατὰ τȣ̃τον δὲ τὸν τύπον ἡ τῶν Οἰκȣμενικῶν Συνόδων ἑβδόμη, (ἐν Κανόν: Ζ΄. τεθέσπικεν: Ἀποτεθεῖσθαι Μαρτύρων Ἁγίων Λείψανα ἐν τοῖς Ναοῖς, τοῖς ἄνευ ἐκείνων καθιερωθεῖσι, μετὰ τῶν συνήθων δεήσεων. Ὁ δὲ τις καθιεροῖ Λειψάνων ἄνευ, ἀποβαλλέσθω, ὡς παραβάτης ὢν τῶν Ἐκκλησιαςικῶν Παραδόσεων.

4) Τȣτὶ δ᾽ ἀφορμὴν παρέσχε, τȣ̃ τοῖς Θεῷ καθιερȣμένοις Ναοῖς τὰ τῶν Ἁγίων

ὀνο

ὀνόματα ἐπιτιθέναι, ὡς ὑπὲρ τῆς Ἐκκλησίας πρὸς Θεὸν διαπρεσβευόντων.

5) Ἐνίοτε τοῖς Ναοῖς τὸ ἐπώνυμον, ἀπὸ τῶν οἰκοδομησάντων, ἢ κατὰ τὴν αὐτῶν τούτων εὐδοκίαν τε καὶ προαίρεσιν, ἐπετίθετο. (Ὅρα Σωζόμενον ἐν τῷ Ζ΄. Βιβλ: Κεφ: ΙΕ΄. Καὶ Γρηγόριον τὸν Ναζιανζ: ἐν Λόγ: ΛΒ΄. ὅς ἦν αὐτῷ, ὁ εἰς τὴν παρουσίαν τῶν ΡΝ΄. Ἐπισκόπων Συντακτήριος.)

6) Ἰουστινιανὸς ἀπηγόρευσεν οἰκοδομὴν Ἐκκλησίας ἐπιχειρεῖν, μὴ πρότερον προσδιορισθέντων, τῶν εἰς σωτήρησιν αὐτῆς τε δὴ, καὶ τοῦ Κλήρου τοῦ ἐν αὐτῇ ἐναπαιτουμένων. Εὑρήσεις δὲ τὴν περὶ τούτου ἐκδοθεῖσαν Νεαρὰν, ἐν τῇ Βίβλῳ τῇ περὶ τοῦ Κανονικοῦ Δικαιώματος, Βιβλ: ϛ΄. Κεφ: Β΄.

7) Ἐκράτει δὲ, καθ' ἃς ἡμέρας ὁ Ναὸς καθιέρωτο, ἑορτὰς ἄγεσθαι ἐνιαυσίους. (Σωζόμεν: Βιβλ: Β΄. Κεφαλ: Κϛ΄.)

8) Ἡ τῆς Καθιερώσεως τελετὴ ἐν Εὐχαῖς ἄρχεται, δι' ἐπικλήσεως τοῦ παναγίου Πνεύματος. Κατὰ ταυτὸ δὲ καὶ ἡ τῆς καθιερουμένης τῷ ὑψίστῳ Τραπέζης κατασκευὴ, ταῖς Εὐχαῖς συνάπτεται.

9)

9. Ἡ δὲ Σανίς ἡ ἐπὶ τῆς Τραπέζης, τέσσαρσιν ἐν ἥλοις ςηρίζεται· ἀφορώσης ἐν τούτῳ τῆς Ἐκκλησίας, πρὸς τὴν ἐπὶ τοῦ ςαυροῦ τοῦ Κυρίου ἐπικαθήλωσιν.

10) Εἰ πάντα εἴωθε τὰ οἶκοι ἐκπλύεσθαι, πόσῳ δὴ μᾶλλον τὴν Ἱερὰν δέον Τράπεζαν; Πλύνεται οὖν καὶ αὕτη, πρῶτον μὲν διὰ νίτρου ῥυπτομένη καὶ ὕδατος· Εἶτα δέ καὶ διὰ ναματίου ἀρωματικοῦ, σὺν οἴνῳ μέλανι ἀνακεκραμένου, εἰς ἀνάμνησιν τοῦ τιμίου αἵματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ· δι' οὗ ἡ Ἐκκλησία ἀπεπλύθη καὶ καθηγίαςαι. Τοῦ ſουν Μωσέως, τὸ τοῦ Ὁλοκαυτώματος αἷμα ἐπὶ τοῦ Θυσιαςηρίου κύκλῳ προχέοντος, Λευιτ: Η΄. 23.) ἡ Ἐκκλησία τὸν τύπον ἐκπληροῖ, ἐπὶ τῆς τοῦ κατ' αὐτὴν Θυσιαςηρίου Καθιερώσεως.

11) Χρίεται δ' ἡ Τράπεζα ἐν ἐλαίῳ, ὡς ἄρα Συμβόλῳ τούτῳ τῆς ἐν αὐτῇ ἐπιχεομένης τοῦ Θεοῦ χάριτος, ἣν Μωσῆς προετύπου, ὅτε ἔλαβεν ἀπὸ τοῦ Ἐλαίου τῆς Χρίσεως, καὶ ἔῤῥανεν ἀπ' αὐτοῦ ἐπὶ τὸ Θυσιαςήριον ἑπτάκις· καὶ ἔχρισε τὸ Θυσιαςήριον, καὶ ἡγίασεν αὐτό. (Λευιτικ: Η΄. 10. 11.)

12) Ἀμφιέννυται δ' (ἐν τῇ Καθιερώσει) Χιτῶνα καθαρὸν ὁ Ἐπίσκοπος, τὴν

τὴν Ἐκκλησίαν ἐπισημαίνων, ἄσπιλόν τε ὖσαν καὶ ἄμωμον, καὶ ῥύπε παντὸς καθαρέυεσαν.

13. Καὶ ὁ μὲν Ἐπίσκοπος, ἐπὶ κεφαλῆς τὰ τῶν Μαρτύρων λέιψανα φέρων, ὁ δ᾽ Ἱερεὺς τὸ Ἀντιμιώσιον χερσὶ κατέχων, Λέιψανα Ἁγίων καὶ αὐτὸ περιέχον, περιάγεσι κύκλῳ ἐν τῷ Ναῷ· ὑποδηλεσι δὲ διὰ τῆς κυκλοφορίας τὴν τε Ναε τῷ ὑψίςῳ εἰς αἰῶνα καθιέρωσιν. Ὑπὲρ ἧς, καὶ οἷα Μεσίτης αὐτῷ προβάλλεται ὁ Ἅγιος αὐτε Μάρτυς, ἐ τὰ Ἱερὰ Λέιψανα, ἐν Ὀυρανοῖς ἤδη δοξαζομένε, τιμῆς χάριν ὑπὲρ κεφαλῆς ὁ Ἀρχιερεὺς ἐπιφέρεται.

14) Αἱ ἐπὶ τῆς τοιαύτης τελετῆς προσαγόμεναι, δεήσεις, καὶ οἱ ψαλμοὶ οἱ διαταχθέντες ἀναγινώσκεσθαι, ἀποχρώντως διασαφεσι τὴν τῆς Ἐκκλησίας πρόθεσιν, ἐπὶ τῆς οὕτως ἐπιτελεμένης Καθιερώσεως.

---

ΚΕΦΑ-

# ΚΕΦΑ'ΛΑΙΟΝ ΙΓ:

## ΠΕΡΙ' ΤΗ'Σ ΤΟΥ' ΜΥ'ΡΟΥ 'ΕΨΗ'ΣΕΩΣ·

§. 353.

Ἡ τῶν Θεῷ καθοσιωμένων Χρίσις, ἐπὶ τῆς Παλαιᾶς Διαθήκης τὴν ἀρχὴν ἔσχεν, Ἰακώβ μεν γὰρ (Γενέσ: ΛΕ. 14.) ἔστησε στήλην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς . . . . καὶ ἐπέχεεν ἐπ' αὐτὴν ἔλαιον. — Καὶ (Ἐξόδου δὲ ΚΘ. 29) περὶ τῆς στολῆς Ἀαρὼν γέγραπται: ὅτι ἔσται τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτὸν, χρισθῆναι αὐτοῖς. — Καὶ (Ἐδαφ: 36.) Περὶ τοῦ Θυσιαστηρίου: Καὶ χρίσεις αὐτὸ, καὶ ἁγιάσεις αὐτό. — Καὶ Κεφαλ: Λ΄. 23. 25.) Καὶ Σὺ λάβε ἡδύσματα . . . . καὶ ποιήσεις αὐτὸ ἔλαιον, χρίσμα ἅγιον. — Καὶ ἐν Α΄. Βασιλ: Κεφαλ: Θ΄. 15. 16. Κύριος ἀπεκάλυψε τὸ ὠτίον Σαμουὴλ . . . : αὔριον ἀποστελῶ πρὸς Σὲ Ἄνδρα . . . . - καὶ χρίσεις αὐτὸν εἰς Ἄρχοντα. — Καὶ Β΄. Βασιλ: Β. 4. Καὶ ἔρχονται ἄνδρες τῆς Ἰουδαίας, καὶ χρίουσι τὸν Δαβὶδ ἐκεῖ. — Καὶ Γ΄. Βασιλ: Α΄. 36. Καὶ ἔλαβε Σαδὼκ ὁ Ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς Σκηνῆς, καὶ ἔχρισε τὸν Σαλωμών. — Καὶ ἐν ψαλμ: ΠΗ΄. 20. Ἐν ἐλαίῳ Ἁγίῳ μου ἔχρισα αὐτόν. Ὥσπερ δὲ ἐν τῇ παλαιᾷ

Διαθή-

Διαθήκῃ, σημεῖον ὑπῆρχεν ἡ χρίσις τῆς τȣ̃ χριομένȣ τῷ Θεῷ ἀναθέσεως, κ̀ τῆς τῶν ἄνωθεν δωρεῶν ἐπ᾽ ἐκείνῳ ἐπιχορηγήσεως· ȣ̃τω κ̀ ἐν τῷ Νόμῳ τῆς χάριτος οἱ βαπτιζόμενοι τῷ Ἁγίῳ ἐλαίῳ χρίονται, ὡς ἂν ἐντεῦθεν ὦσι βεβαίως ἔχοντες περὶ τῶν δωρημάτων, ὧν ἡ τȣ̃ Θεȣ̃ χάρις αὐτοῖς ἐπιδαψιλεύεται. Τῷ δ᾽ αὐτῷ χρίεται κ̀ ὁ Βασιλεὺς, κ̀ ὁ ἐν τῷ Ναῷ καθιερȣ́μενος τῷ Θεῷ θρόνος, ὡς σημείῳ παραδεικνῦντι τὴν τῶν Θείων χαρισμάτων ἐπιδαψίλευσιν.

2) Ὅυτως οὖν τῷ Ἁγίῳ ἐλαίω χρῆσθαι τὴν Ἐκκλησίαν, ἀνεπτύχθη κἀν τῷ Ζ΄. τῶν Κεφαλαίων ἀνωτέρω, τῷ περὶ τȣ̃ Βαπτισμοῦ, καὶ τȣ̃ Χρίσματος· κἀν τῷ ΙΒ΄. τῷ περὶ τῆς Καθιερώσεως τῶν Ἐκκλησιῶν. Περὶ δὲ τȣ́τȣ μετιτέον μάλιςα τὰς τȣ̃ Ἱεροσολυμίτȣ Κυρίλλȣ Μυςαγωγικὰς Κατηχήσεις· Καὶ τῶν Ἀποςολικῶν Διατάξεων Βιβλ: Γ΄. Κεφ: Ις΄. Καὶ Βιβλ: Ζ΄. Κεφάλ: ΚΒ΄. Καὶ Βιβλ: Η΄. Κεφ: ΚΘ΄.

3) Πρὸς δὲ ἀνάπτυξιν τȣ̃ Χρίσματος συντελεῖ διαφερόντως καὶ τὰ ὑπὸ Διονυσίȣ τȣ̃ Ἀρεοπαγίτȣ διελθεῖν, ἐν τοῖς περὶ τῆς Ἐκκλησιαςικῆς Ἱεραρχίας (Κεφ: „Δ΄.) γραφόμενα: „Ταύτην τὴν ὁμοτα-

„γῇ τελεσιεργίαν, Μύρε τελετὴν οἱ Κα-
„θηγεμόνες ἡμῶν ὀνομάζεσι. Κατὰ τὸν
„αὐτὸν δὲ τῆς σωάξεως τρόπον, αἱ τῶν
„ἀτελειώτων ἀπολύονται τάξεις, προηγη-
„σαμένων δηλαδὴ, τῆς τε Ἱεραρχικῆς
„ἐπὶ πᾶν τὸ Ἱερὸν εὐόσμε περιαγωγῆς,
„καὶ τῆς ψαλμικῆς Ἱερολογίας, καὶ τῆς
„τῶν θειοτάτων λογίων ἀναγνώσεως.
„Εἶτα τὸ Μῦρον ὁ Ἱεράρχης λαβὼν,
„ἐπιτίθησι τῷ θείῳ Θυσιαστηρίῳ, περικε-
„καλυμμένον, ὑπὸ δυωκαίδεκα πτέρυξιν
„ἱεραῖς, ἀναβοώντων ἁπάντων ἁγιωτά-
„τῃ Φωνῇ τὸ Ἱερὸν τῆς τῶν θεολήπτων
„Προφητῶν ἐπιπνοίας μελῴδημα· καὶ
„τὴν ἐπ᾽ αὐτῷ τελεμένην Ἐυχὴν ἀποπ-
„ληρώσας, ἐν ταῖς ἁγιωτάταις τῶν ἀφιε-
„ρεμένων τελεταῖς αὐτῷ χρῆται.

---

## ΚΕΦΑ΄ΛΑΙΟΝ ΙΔ΄.

### ΠΕΡΙ῀ ἩΜΕΡΩ῀Ν ἙΟΡΤΑΣΙ΄ΜΩΝ.

### §. 354.

1) Τὸ πάντων τῶν παρὰ Θεε γινο-
μένων ἡμῖν ἐξαισιωτέρων ἐυεργετημά-
τῶν

των μνείαν ποιεῖσθαι, καὶ καθ' ἃς αὐτὰ ἐτελέσθη ἡμέρας, διαφερόντως ταύτας τιμῶντας τε καὶ σεβομένους διατελεῖν, ἔθος ἤδη τοῦτο ἐςὶν ἐπὶ τοῦ σύμπαντος Κόσμου κρατῆσαν, οὗ καὶ τὰς πίςεις πολλαχοῦ ἔχομεν, ἔντε τῷ Ἱερῷ Εὐαγγελίῳ, καὶ ἐν ταῖς τῶν Ἀποςόλων Πράξεσιν. Ὁ μὲν οὖν Ἱερὸς Λουκᾶς, (ἐν Κεφαλ: Β'. ἐδαφ: 41. τοῦ κατ' αὐτὸν Εὐαγγελίου) διέξεισιν, ὡς Ἰωσὴφ μετὰ Μαριὰμ τῆς αὐτῷ μνηςευθείσης, εἰωθότες ἦσαν κατ' ἔτος, ἐν τῇ Ἑορτῇ τοῦ Πάσχα, εἰς Ἱερουσαλὴμ ἐκπορεύεσθαι. Καὶ Ἰωάννης δὲ (ἐν Κεφ: Β'. 23.) φησὶν: Ὡς δὲ ἦν ἐν Ἱεροσολύμοις (ὁ Ἰησοῦς) ἐν τῷ Πάσχα, ἐν τῇ Ἑορτῇ κτ: Καὶ ὅτε δὲ οἱ ἐν Ἐφέσῳ πιςοὶ ἠρώτων τὸν Παῦλον, ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, (Πράξ: ΙΗ'. 20. 21.) ἀπετάξατο αὐτοῖς, εἰπών: Δεῖ με πάντως τὴν Ἑορτὴν τὴν ἐρχομένην μεῖναι εἰς Ἱεροσόλυμα. Ἐξ ὧν δὴ, καὶ παραπλησίων ἄλλων ἱςοριῶν, ἐπίδηλος ἡ ἀρχαιότης τῆς τῶν Ἑορτῶν καθίςαται Διατάξεως, καὶ ἐξαιρέτως τῆς τοῦ Πάσχα, τῆς τε Πεντηκοςῆς, καὶ τῶν τοῦ Σωτῆρος Γενεθλίων, καὶ τῶν Θεοφανίων, καὶ τῆς ἡμέρας τῆς Ἀναςάσεως.

2) Τὸ γοῦν ὀνομαςὶ περὶ τῶν Ἑορτῶν ἀποδεῖξαι ἐπιχειρήσασθαι, ὁπότε τούτων ἑκάςη ἐπιτελεῖσθαι κατήρξατο, ἑκὼν παρίημι· Ἀπόχρη γὰρ οἶμαι καταλέξαντα ἐκθέσθαι, τὰς ἐν αἷς οἱ Παλαιοὶ τῶν Ἁγίων Πατέρων ἐκκλησιάζοντες, τὴν τελετὴν ἀπελάμπρυνον. Ἐντεῦθεν γὰρ καὶ ἡ τῶν Ἑορτῶν ἀναφανήσεται ἀρχαιότης, ὅτι ἀνέκαθεν δηλονότι τὰς τοιάσδε ἡμέρας οἱ Θεοφόροι ἐκεῖνοι διεφιλοτιμοῦντο φαιδρύνειν, ἐν λαῷ βαρεῖ, διὰ τῶν ἰδίων Ὁμιλιῶν ἐμπανηγυρίζοντες. οἷον:

Εἰς τὸ Πάσχα:

**Γ**ρηγόριος ὁ Ναζιανζηνὸς, καὶ Ἀθανάσιος, καὶ Χρυσόςομος, καὶ Πρόκλος.

Εἰς τὴν Ἀνάληψιν.

**Ἀ**θανάσιος, καὶ Ἐπιφάνιος, καὶ Χρυσόςομος.

Εἰς τὴν Πεντηκοςὴν.

**Γ**ρηγόριος ὁ Ναζιανζηνὸς, καὶ Ἀμβρόσιος, καὶ Χρυσόςομος.

Εἰς τὴν Μεταμόρφωσιν.

Χρυσόςομος, καὶ Πρόκλος, καὶ Ἀθανάσιος, καὶ Ἀντίοχος.

Εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.

Γερμανὸς ὁ Κωνςαντινουπόλεως, καὶ Λέων ὁ Σοφὸς.

Εἰς

Εἰς τὴν Γέννησιν τῆς Θεοτόκου.
Δαμασκηνὸς, καὶ Φώτιος ὁ Πατριάρχης, καὶ ὁ Λέων ὁ Σοφός.
Εἰς τὴν Ὕψωσιν τοῦ Σταυροῦ.
Ὁ Χρυσόστομος.
Εἰς τὰ Εἰσόδια τῆς Ἀειπαρθένου Μαρίας.
Ταράσιος, καὶ Θεοφύλακτος ὁ Βουλγαρίας.
Εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ.
Γρηγόριος ὁ Ναζιανζηνὸς, καὶ ὁ Χρυσόστομος, καὶ ὁ Πρόκλος.
Εἰς τὰ Ἐπιλόχια τῆς Θεομήτορος.
Κύριλλος ὁ Ἱεροσολύμων, καὶ Ἀθανάσιος, καὶ Χρυσόστομος.
Εἰς τὰ Θεοφάνια.
Ἱππόλυτος, καὶ ὁ Ναζιανζηνὸς Γρηγόριος, καὶ Χρυσόστομος, καὶ Πρόκλος.
Εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.
Γρηγὸριος ὁ Νεοκαισαρείας, καὶ Χρυσόστομος, καὶ Πρόκλος.
Εἰς τὴν Κυριακὴν τῶν Βαΐων.
Κύριλλος ὁ Ἀλεξανδρείας, καὶ Χρυσόστομος, καὶ Πρόκλος.
Εἰς τὴν Μεγάλην Τρίτην τῶν Παθῶν.
Ὁ Χρυσόστομος, καὶ ὁ Πρόκλος.
Εἰς τὴν Μεγ: Παρασκευὴν τῶν Παθῶν.
Ὁ Χρυσόστομος, καὶ ὁ Πρόκλος,

Εἰς

Ἐις τὴν ἡμέραν τȣ̃ Μεγάλȣ Σαββάτȣ.
Ὁ Ἐπιφάνιος, καὶ ὁ Χρυσόστομος.

3) Κρίνȣσα δὲ ἡ Ἐκκλησία, ςήλȣτε καὶ μιμήσεως χριστιανοῖς ἄξιον εἶναι πᾶσι, τὸν καθ᾽ ὃν οἱ Ἅγιοι πολιτευσάμενοι διετέλεσαν βίον, πολλοῖς ἐξ αὐτῶν, διαφερόντως δὲ τοῖς ἐκλάμψασιν ἐν Θαυματȣργίαις, πανδήμȣς τελεῖσθαι διέταξεν ἑορτασίμȣς ἀργίας, ὡς αἱ τῶν θεσπεσίων Πατέρων, ἐν αὐταῖς συνταχθεῖσαι τε καὶ ἐκφωνηθεῖσαι Ὁμιλίαι διαπιςȣ̃νται· ἰδίᾳ δὲ, ἃς Χρυσόστομος καὶ Βασίλειος ἐν ταῖς ἐκείνων μνήμαις διῆλθον.

4) Εἰς δὲ πίστιν βεβαιοτέραν προςίθενται ταῖς τῶν Πατέρων μαρτυρίαις, καὶ αἱ παρὰ τῶν Ἀρχαίων Ἱστορικῶν· καὶ μὲν δὴ, καὶ οἱ Νόμοι τῶν Παλαιτέρων Βασιλέων, ὧν καὶ τὰ Γενέθλια, καὶ οἱ Ἐνθρονισμοὶ, καὶ αἱ τῶν Πόλεων ἔτι θεμελιώσεις, ἐν ἑορταῖς τε καὶ πανηγύρεσιν ἐνεφαιδρύνοντο τελȣμέναις. (Ὅρα ἐν τῷ Θεοδοσίȣ Κώδικι, Βίβλ: Β΄. Τίτλ: Η΄. Καὶ Βιβλ: ΙΕ΄. Τίτλ: Ε΄, Καὶ τῆς ἐν Χαλκηδ: Συνόδȣ Καν: ΚΗ.)

5) Ἀιεὶ γοῦν ἡ τῆς Ἑβδομάδος πρώτη ἡμέρα, (ἣν καὶ Ἡλίȣ ἡμέραν καλȣ̃σιν) χριστιανοῖς ἦν Ἑορτάσιμος. Ὁ δὲ

Θεοφό-

Θεοφόρος Ἰγνάτιος πρὸς Μαγνησίους ἐπιςέλλων, ἀπηγόρευε τὴν ἡμέραν τοῦ Σαββάτου Ἰουδαίοις συνεορτάζειν· ἀλλὰ τὴν μετ᾽ αὐτὴν τετέςι τὴν Κυριακήν. Καὶ Ἰουςῖνος δὲ ὁ Μάρτυς ἐν τῇ Β΄. τῶν αὐτοῦ Ἀπολογιῶν, τῇ ἡμέρᾳ (φησὶ) τοῦ Ἡλίου συναγόμεθα πάντες· αὕτη γὰρ ἡ πρώτη ἐςὶν ἡμέρα, ἐν ᾗ ὁ Σωτὴρ ἡμῶν καὶ Κύριος Ἰησοῦς Χριςὸς ἀνέςη ἀπὸ τῶν νεκρῶν. Καὶ Θεοδόσιος δὲ ὁ Βασιλεὺς, (ἐν Βιβλ: ΙΕ΄. Τίτλ: Ε΄. ἐν Νόμῳ Β΄.) Καὶ Θεοδόσιος δὲ ὁ Νέος ἐν Νόμῳ Ε΄. τῇ ἡμέρᾳ τῆς Ἀναςάσεως, καὶ τῆς τοῦ Κυρίου Γεννήσεως, καὶ τῶν Θεοφανίων· καὶ ἀπὸ τοῦ Πάσχα δὲ ἄχρι τῆς Πεντηκοςῆς, τάτε Θέατρα, καὶ τὰ Ἱπποδρόμια ἐν πάσαις ταῖς Πόλεσιν ἀπηγόρευκεν. Ἐν γὰρ ταῖς τοιαύταις ἡμέραις οἱ Χριςοῦ λάτρεις περὶ πραγμάτων θειοτέρων μελέτην ποιεῖσθαι ὀφείλουσιν. (Ὅρα καὶ Τερτυλλιανὸν ἐν τῷ Ἀπολογητικῷ, Κεφαλ: Ις΄. Καὶ Ὠριγέν: ἐν Ὁμιλ: Ζ΄. εἰς τὸ τῆς Ἐξόδου Κεφάλ: ΙΕ΄. Καὶ τῆς ἐν Λαοδικ: Συνόδου Καν: ΙΘ΄.) Ἀλλὰ καὶ ὁ θεῖος Κυπριανὸς (ἐν Ἐπις: ΞΓ΄. πρὸς Καικίλιον, περὶ τοῦ Μυςικοῦ Ποτηρίου τοῦ Κυρίου γράφων: ἡμεῖς (φησὶ) τὴν τοῦ Κυρίου

Ἀνάστασιν κατ᾽ ὄρθρον πανηγυρίζομεν. Ἐπεὶ δὲ ἐν ἁπάσαις ταῖς ἡμῶν προσφοραῖς, μνείαν τοῦ ἐκείνου Πάθους ποιούμεθα· οὐδὲν ἄλλ᾽ ἢ ὅπερ ἐκεῖνος ἐποίησε, ποιεῖν ὀφείλομεν· Προσήκει δὲ ἄρα τῇ καθ᾽ ἡμᾶς λατρείᾳ, τὸ ἐν τῷ Κυριακῷ Ποτηρίῳ, κεραννῶντας τε καὶ προσφέροντας διαφυλάττειν τῆς Κυριακῆς ἀληθείας τὴν Παράδοσιν. Ὁ δὲ θεῖος Ἐπιφάνιος, ἐν τῷ Λόγῳ τῷ εἰς τὴν τοῦ Κυρίου
„Ἀνάληψιν: „Πρώτη (φησὶ) Ἑορτὴ ἡ
„φρικτὴ καὶ θαυμαστὴ κατὰ σάρκα τοῦ
„Χριστοῦ Γέννησις. Δευτέρα Ἑορτὴ ἡ
„τῶν Θεοφανίων· ἐν μὲν γὰρ τῇ πρώ-
„τῃ, ὑπεδείκνυε τὸν τεχθέντα Θεὸν Λό-
„γον, Ἀστήρ· ἐν δὲ τῇ δευτέρᾳ Ἑορτῇ,
„Ἰωάννης ἐβόα: Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ,
„ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐ-
„βεβαίου δὲ τὴν μαρτυρίαν τοῦ βαπτι-
„ζομένου, οὐρανόθεν βοῶν ὁ Πατήρ. Τρί-
„τη Ἑορτὴ τοῦ Σωτηριώδους πάθους, ἡ
„Ἀνάστασις· ἡ τῆς Πεντηκοστῆς χαρὰ με-
„γάλη. Σήμερον δὲ, ἐν τῇ τῆς Ἀναλή-
„ψεως ἡμέρᾳ, πάντα διὰ πάντων εὐφ-
ροσύνης πεπλήρωται. Καὶ ὁ θεσπέσιος δὲ Ἀθανάσιος, ἐν Ὁμιλίᾳ τῇ περὶ τοῦ σπείροντος: τὸ Σάββατον (φησὶ) παρὰ τοῖς Παλαιοῖς ἐκείνοις διὰ τιμῆς ἦγετο μεγίστης· ἥ τις Ἑορτὴ ἐπὶ τὴν ἡμέραν τὴν Κυριακὴν μετενήνεκται. Καὶ ὁ Ναζιανζηνὸς δὲ Γρηγόριος, ἐν Λόγῳ ΜΒʹ.

τῷ

τῷ εἰς τὸ Ἅγιον Πάσχα: Καλὴ μὲν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία, καὶ φωταγωγία . . . . τοῦ μεγάλου φωτὸς ἀντίτυπος . . . . Καὶ ἐν τῷ ΙΗʹ. Ἰαμβικῷ δὲ Ἔπει, τῷ περὶ Ἀρετ: ἐπιγραφ: ἐν Τμήμ: 84. περὶ τῆς τῶν Μαρτύρων Ἀθλήσεως, τῆς, δι' αὐτῶν ἑορταζομένων, τὴν ὑπὸ τῶν πιστῶν οἰκουμένην γῆν καταγλαϊζούσης, ᾄδων φησί:

„Ταύτην καταστράπτουσιν ὥσπερ ἀστέρες
„Σχεδόν τι πᾶσαν· αἰθρίοις τε βήμασιν·
„Ὑψορόφοις θρόνοις τε καὶ διδάγμασιν·
„Ἀθροίσμασίν τε καὶ δρόμοις πανεσίοις,
„Ὑμνῳδίαις τε τῶν πόνων ἐπαξίαις,
„Οἱ τοῦ σφαγέντος εὐκλεεῖς νικηφόροι.

Καὶ ὁ θεῖος δὲ Ἀμβρόσιος (Ἐν Ὁμιλ: γΒʹ.) „Τοὺς Μακαρίους σεψώμεθα Μάρτυρας, „τοὺς αρχηγοὺς τῆς Πίστεως, τοὺς πρεσβευ-„τὰς γινομένους ὑπὲρ εἰρήνης, τοὺς Κήρυ-„κας τῆς Βασιλείας. Τιμῶ τὰ ἐν τῇ σαρ-„κὶ τοῦ Μάρτυρος τραύματα, ἃ ὑπὲρ τοῦ „Ὀνόματος τοῦ Χριστοῦ ὑπέτλη· Σέβομαι „Σῶμα, τὸ, τὸν μὲν Κύριον ἐκδιδάσκον „με ἀγαπᾶν, τὸν δὲ θάνατον μὴ χρῆναι „λίαν φοβεῖσθαι δεικνύον. Καὶ ἐν Ὁμιλίᾳ δὲ ΟΖʹ. Πλεῖστας ὑπὸ τῶν Ἁγίων τελεῖσθαι θαυματουργίας, τοῖς πᾶσι κατάδηλον ὄν, διὰ τοῦτο εὐλαβούμεθα, φησίν,

„Ἀδελ-

„Ἀδελφοὶ τούτους ἐν τῷ παρόντι αἰῶνι, οὓς προστάτας ἔχειν δυνάμεθα ἐν τῷ μέλλοντι. Καὶ ἐν Ἐπιστολῇ δὲ ΠΕ΄. Ὅτε τὰ Λείψανα (φησὶ) τῶν Ἁγίων, Γερβασίου τε καὶ Προτασίου ἀνεύρηται, ὅλην οἱ Πιστοὶ τὴν νύκτα ἐκείνην ἀγρυπνοῦντες ἐν ψαλμοῖς καὶ ᾠδαῖς διετέλεσαν.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

### ΠΕΡΙ ΤΩΝ ΛΙΤΑΝΕΥΤΙΚΩΝ ΠΡΟΕΛΕΥΣΕΩΝ.

§. 355.

Αἱ Λιτανευτικαὶ Πρόοδοί τε καὶ Προελεύσεις ἐξ ἀρχαίων διετάχθησαν χρόνων, τοιῷδε μάλιστα λόγῳ, ἵν᾽ οἱ τὴν χώραν ἔχοντες χριστιανοί, ἐν ᾗ ἐτελοῦντο, διεγειρόμενοι εἰς μετάνοιαν, ζέσει τε πίστεως, καὶ δεήσεων θερμότητι Θεὸν ἐξιλάσκοιντο, ὡς ἂν ἐπικαμφθεὶς ἐν ἐλέει, ἀποστρέψειέ τε ἀπ᾽ αὐτῶν τὴν ὀργὴν αὐτοῦ τὴν δικαίαν, καὶ τὴν αὐτοῦ ἀγαθότητα ἐπιδείξατο. Καὶ συνεκροτοῦντο μὲν αἱ τοιαίδε λιτανεύσεις ἐν καιροῖς συμφορῶν παντοίων ἐπερχομένων· ἡ δ᾽ Ἐκκλησία, καὶ τῆς ἀπαλλαγῆς τυχοῦσα,

ὀδέν τι ἧττον, καὶ μετὰ τὴν παρέλευσιν τῶν δεινῶν, τὰς αὐτὰς Ἱλαστηρίους προεξελεύσεις, διεθέσπισεν ἐτησίως ἐπαναλαμβάνεσθαι· ὡς δι᾽ αὐτῶν, καὶ Θεὸν ἐξιλεοῦσθαι, καὶ τοὺς πιστοὺς ἐπὶ τῇ προλαβούσῃ εὐποιΐᾳ, χάριτάς τε ὁμολογεῖν τὰς ὀφειλομένας, καὶ τῆς ἰδίας ἐνάγεσθαι σπουδὴν ποιεῖσθαι ἐπανορθώσεως. Τὰς δὴ τοιαύτας Λιτανεύσεις, Σπουδαίας τε καὶ ἐπιμελεῖς Ἱκεσίας ἀποκαλεῖν εἰώθει, ὁ θεῖος Χρυσόστομος. (Ὅρα Λιτήν.)

Ὁ μὲν οὖν Εὐσέβιος, τὰ κατὰ τὸν Μέγαν Κωνσταντῖνον βιογραφῶν (Βιβλ: Β΄. Κεφ: ΙΔ.) οὐκ᾽ ἄνευ Λιτῆς προηγουμένης ἐπὶ τὰς μετὰ τῶν πολεμίων συμβολὰς ἐξιέναι, καθιστορεῖ τὸν Ἄνακτα. Ὅ, τε θεῖος Χρυσόστομος, τῷ Λαῷ πρὸ τῆς ἐξορίας διαλεγόμενος, ἐγὼ σὺν Ὑμῖν (ἔφασκεν) ἐπὶ τῆς Λιτανείας ἀφίξομαι. Σὺ δέ μοι ὅρα καὶ τὸν Μέγαν Βασίλειον, (ἐν Ἐπισ: ΣΔ΄.) πρὸς τὴν Νεοκαισαρείας Ἐκκλησίαν γράφοντα. Καὶ Σωκράτην, (ἐν τῷ Η΄. Βιβλ: τῆς Ἱστορίας, Κεφαλ: Η΄.) Καὶ τὸν Ἰουστινιανὸν ἐν ταῖς Νεαραῖς (Βιβλ: ΡΚΓ. Κεφ: ΛΒ΄.) ἀπαγορεύοντα τὸ Λιτανικὰς προόδους ἄνευ τοῦ Ἐπισκόπου ποιεῖν. Ἀλλὰ κἂν τῷ τοῦ Χρυσοστόμου

Βίῳ

Βίῳ ἀναγινώσκομεν, ὅτι τῶν Ἀρειανῶν ἐν Κυριακαῖς ἡμέραις, μετὰ λιτανείας εἰς τὸν αὐτῶν Ναὸν εἰσερχομένων, ὁ θεῖος Πατὴρ ἐνετείλατο, μηδένα τῶν ἐκ τȣ̃ χυδαίȣ ὄχλȣ ἐκείνοις ἐφέπεσθαι· τȣ̀ς δὲ Κληρικȣ̀ς αὐτȣ̃ λιτανεύοντας, διὰ μέσης προϊέναι τῆς Πόλεως, τὸν Σταυρὸν ἐπιφέροντας, καὶ εἰκόνας μετὰ λαμπάδων καιομένων κατέχοντας, καὶ ᾠδὰς καὶ ὕμνȣς τȣ̀ς ἐν ταῖς λιταῖς συνήθεις προσᾴδοντας. Ταὐτὸ πάρεστιν ἰδεῖν κἀν τῷ Βίῳ τȣ̃ Ἱερȣ̃ Πρόκλȣ, τῆς τε Μακαρίας Μάρτυρος Εὐγενίας, καὶ Ἁγίων ἑτέρων. (Νικηφ: Βιβλ: ΙΔ. Κεφ: Μϛʹ.)

Ἐκ τῶνδε, ἡ τῶν Λιτανευτικῶν Προόδων Ἀρχαιότης σαφῶς ἀποδείκνυται. Διατὶ δὲ ἐν ἡμέρᾳ τοιᾷδε, ἤ τοιᾷδε, Λιτανείαν ἐτάχθη συνίστασθαι; τȣτὶ μαθεῖν πάρεστι, ἐκ τῆς, ἐφ᾽ ἑκάστησȣν τῶν οὕτως ἑορταζομένων ἡμερῶν, ἀναγεγραμμένης Διηγήσεως.

ΚΕΦΑ´

# ΚΕΦΑ΄ΛΑΙΟΝ Ις΄:

## ΠΕΡΙ` ΤΟ῀Υ ῾ΑΓΙΑΣΜΟ῀Υ ΤΟ῀Υ ῞ΥΔΑΤΟΣ.

§. 356.

1) Ὁ θεῖος Διονύσιος ἐν τοῖς περὶ τῆς Ἐκκλησιαστικῆς Ἱεραρχίας, Κεφ: ΙΒ΄. Τερτυλλιανὸς ἐν τῷ περὶ τȣ῀ Βαπτίσματος, Κεφαλ: Δ΄. Κυπριανὸς ἐν Ἐπιστ: Ο΄. Ἀμβρόσιος περὶ Μυστηρίων, Βιβλ: Α΄. Κεφαλ: Ε΄. καὶ περὶ τȣ῀ Ἁγίȣ Πνεύματος, Βιβλ: Α΄. Κεφαλ: ς΄. Βασίλειος ὁ Μέγας, περὶ τȣ῀ Ἁγίȣ Πνεύματος, Κεφ: ΚΖ΄. Γρηγόριος ὁ Νύσσης, περὶ τῆς τȣ῀ Χριστȣ῀ Βαπτίσεως. Θεοδώρητος, εἰς τὴν Α΄. πρὸς Κορινθ: Κεφαλ: ς΄. ἐδαφ: 11. Πρὸ δὲ τȣ́των ὁ Εὐαγγελιστὴς Μάρκος, Κεφαλ: Α. 9. 10- 11. Καὶ Ἰωάννης Κεφαλ: Ε΄. 4. καὶ Κεφαλ: Ζ. 37. Τὸν τȣ῀ ὕδατος Ἁγιασμὸν ἐκ περιȣσίας ἀποδεικνύȣσιν ὡς εἰκὸς ἐκτελȣ́μενον.

2) Περὶ δὲ τȣ῀ κατὰ τὴν Ἰαννȣαρίȣ ς΄. τελετȣργȣμένȣ Ἁγιασμȣ῀, ἐκτὸς ἡμᾶς ἀμφιβολίας καθίστησιν ὁ θεῖος Χρυσόστομος, ἐν τῇ περὶ τȣ῀ Βαπτίσματος Ὁμιλίᾳ,

λία, ἧς ἡ ἀρχή: Πάντας ὑμᾶς εὐθύμους κτ:
Διὸ δὴ, οὐχ ἡ καθ' ἣν ὁ Κύριος ἐγεννήθη, ἡμέρα· ἀλλ' ἡ καθ' ἣν ἐβαπτίσθη, τὰ Ἐπιφάνια λέγεται· ἐν ᾗ δηλονότι βαπτισθῆναι καταδεξάμενος, τὴν τῶν ὑδάτων φύσιν ἡγίασεν. Ὅθεν καὶ τῆς νυκτὸς μεσαζούσης κατὰ τὴν Ἑορτὴν ταύτην ὕδωρ ἀπαρυόμενοι, οἴκαδε πολλοὶ φέρουσι, καὶ διατηροῦσι δι' ὅλου τοῦ ἔτους: ἐπὶ ἁγιασμῷ, ὡς τῶν ὑδάτων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καθαγιαζομένων· οὗ δὴ τεκμήριον προδηλότατον, τὸ μηδὲ τῷ τοῦ χρόνου μήκει τὸ τοιόνδε νᾶμα ἀλλοιοῦσθαι, μηδ' ὑποφθείρεσθαι· ἀλλ' εἰς ἐνιαυτὸν ὅλον, καὶ εἰς δεύτερον δὲ, ἢ καὶ εἰς τρίτον διαμένειν ἀκήρατον, ὡς ἂν εἰ καὶ αὐθημερὸν ἀρυσθὲν εἴη ἀπὸ χειμάῤῥου, ἢ καὶ ἀπὸ φρέατος ἐξαντλούμενον.

3) Ἡ δέ τοιαύτη ἀπόπειρα κατ' ἐξοχὴν ἀναφέρεται ἐπὶ τὸ διὰ τοῦ Ἁγιασμοῦ ἐν τῇ τῶν Ἐπιφανίων ἡμέρᾳ ἁγιστευόμενον. Ἀλλὰ γὰρ κἂν ἄλλαις ἡμέραις τὸ ὕδωρ καθαγιάζεσθαι μαρτυροῦσιν, ὅ, τε θεῖος Κυπριανὸς (ἐν Ἐπισ: Οϛ́.) Τὸ τοῦ ῥαντισμοῦ ὕδωρ φάσκων εἶναι καθάρσιον· καὶ ὁ Ἱερὸς Ἐπιφάνιος, (ἐν Αἱρέσει ΙΒ΄.)

καὶ ὁ Θεοδώρητος (ἐν τῇ Ἐκκλησιαςικῇ Ἱςορίᾳ (Βιβλ: Ε΄. Κεφ: ΚΑ΄.)

4) Ὁ καθαγιασμὸς τȣ̃ ὕδατος τελετȣργȣ́μενος ταῖς ἐπὶ τῆς τȣ̃ Δεσπότȣ Βαπτίσεως περιςάσεσιν οἰκείως προσήρμοςαι. Ἁγιασμὸς δ᾽ οὐ̃ εἴωθε τελεῖσθαι κἀν τῇ τῆς Μεσοπεντηκοςῆς Ἑορτασίμῳ ἡμέρᾳ: διὰ τὴν τῶν ὑδάτων τῆς Σιλωαμίτιδος Κολυμβήθρας, ὑπὸ τȣ̃ Ἀγγέλȣ καθαγίασιν. Ἢ μᾶλλον, ὅτι κατ᾽ αὐτὴν τὴν Ἑορτὴν τῆς Πεντηκοςῆς ἀγομένην, ὁ Κύριος ἡμῶν Ἰησȣ̃ς Χριςὸς, τὴν ἰδίαν ἑαυτȣ̃ Διδασκαλίαν προσεξεικάσας ἐγένετο ὕδατι, τῇ ψυχὴν τὴν ἐξαμαρτήσασαν, καὶ τὴν σωτηρίαν διψῶσαν ἐπικορεννύοντι. Καὶ ἐν ἄλλαις δὲ τισιν ἡ Ἐκκλησία ἑορτασίμοις ἡμέραις, Ἁγιασμὸν ἐπιτελεῖσθαι διέταξεν: οἷον ἐν τῇ πρώτῃ τȣ̃ Μηνὸς Αὐγȣ́ςȣ. Καὶ ἐν ἡμέρᾳ καθ᾽ ἣν πανηγυρίζεται ὁ Ἅγιος, ὅπερ ὁ Ναὸς ἐςὶν ἐπώνυμος. Ἀν᾽ Ἑλλάδα δὲ, καὶ ἐνίαις ἔτι ἀλλαχȣ̃ Ἐκκλησίαις, ἀρχομένȣ Μηνὸς ἑκάςȣ, Ἁγιασμὸς ἐκτελεῖσθαι εἴωθεν.

5) Κατὰ γεμὴν τῆς Μεσοπεντηκοςῆς τὴν ἡμέραν, ἰδιαίτερον ὁ Ἁγιασμὸς ἐκράτησε γίνεσθαι. Εἰκὸς δὲ τὴν-

καῦτα

καῦτα μᾶλλον τὴν ἐπὶ τῷ ἁγιάσαι τὰ ὕδατα τȣ̃ Ἀγγέλȣ ἀποςολὴν διὰ μνήμης ἄγεσθαι, ἢ τὴν Ἑορτὴν ἀνατυπȣ̃σθαι νομίζειν τῆς τȣ̃ Κυρίȣ Βαπτίσεως.

6) Ἁγιασμὸς δὲ ἔτι καὶ πρὸ τȣ̃ Βαπτίσματος γίνεται τῶν βαπτιζομένων, ἵνα τὸ ὕδωρ προαγιασθὲν, της τȣ̃ Ἁγίȣ Πνεύματος μετάχοι εὐλογίας καὶ χάριτος, ἧς περ ὁ Ἰορδάνης μεταχὼν ὑπῆρξεν ἐν τῷ τȣ̃ Κυρίȣ Βαπτίσματι. (ὁ Μ. Βασίλ: ἐν τοῖς περὶ τȣ̃ Ἀγ: Πνεύματος, Κεφαλ: ΚΖ΄.) (Ὅρα καὶ Βάπτισμα.)

---

## ΚΕΦΑ΄ΛΑΙΟΝ ΙΖ΄.

### ΠΕΡΙ΄ ΤΩ͂Ν ΝΗΣΤΕΙΩ͂Ν.

§ 357.

1) Ἡ Νηςεία, ὥσπερ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ὅτω κἀν τῇ Καινῇ, πολλαχȣ̃ τεθέσπισαι. Κἀν ταῖς Διατάξεσι δὲ ταῖς τῶν Ἀποςόλων τῶν Ο΄. Κἀν τοῖς Συνοδικοῖς δὲ Κανόσι. Τῆς δ᾽ ἐκ τῆς Νηςείας ὠφελείας ὁ λόγος ἐςὶν, ἵνα διὰ τῆς Ἐγκρατείας εἰς μετάνοιαν ὁ ἄνθρωπος ἔλθοι,

καὶ

καὶ βίε ἐπανόρθωσιν, καὶ Θεᾶ ἐξιλέωσιν.

2) Νηςέυειν δ' ἐντετάλμεθα ἐν ἡμέρα Τετράδι τῆς ἑβδομάδος, καὶ ἐν τῇ Παρασκευῇ, καὶ ἐν ταῖς νηςίμοις κατ' ἐνιαυτὸν περιόδοις ταῖς τέσσαρσιν. (Ὅρα Ἀθαν: ἐν τῇ πρὸς Κωνςάντιον Ἀπολογίᾳ. Καὶ Λέοντα τὸν Ῥώμης Πάπαν, Ἐπις: Ε΄. καὶ Η΄. Καὶ Συμ: τὸν Θεσσαλ: ἐν Ἀποκρ: ΝΔ΄.)

3) Πλεῖςαι ἀπὸ τῶν Ἱερῶν Γραφῶν πίςεις, καὶ ἐκ τῶν θεσπεσίων Πατέρων διηγήσεις τε καὶ μαρτυρίαι, συλλεγεῖσαι φέρονται ἐν τῇ Βίβλῳ, ἧς Ἐπιγραφή: Πέτρα Πίςεως: ἅς περ, ὡς τᾶ περὶ τῶν Ἁγίων Νηςειῶν Δόγματος Ἀποδείξεις ἔσας διελθεῖν αὐτόθι ῥάδιον.

---

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

### ΠΕΡΙ ΤΟΥ ἘΝΤΑΦΙΑΣΜΟΥ ΤΩΝ ΤΕΘΝΕΩΤΩΝ.

§. 358.

1) Ὅτι τᾶς Νεκρᾶς δέον ἐνταφιάζεσθαι, ἐκ τῆς Παλαιᾶς Γραφῆς, καὶ τῆς Νέας ἐπίσης, ἐςὶ κατάδηλον. (Γέν: Κεφάλ:

φάλ: ΚΓ΄. 6. καὶ ΚΕ΄. 9. Καὶ ΛΕ. 19. 20. Καὶ Ἐξόδ. ΙΓ΄. 19. Καὶ Δευτερονομ: ΛΔ΄. 6. Καὶ Ἰησῦ ΚΔ΄. 31. 32. Καὶ Τωβίτ Β΄. 7. Καὶ Α΄. Μακκαβ: ΙΓ΄. 25. 26. 27. 29. Καὶ Β΄. Μακκαβ: ΙΒ. 43. 46. Καὶ Ματθ: Κεφ: ΙΔ΄. 12. Καὶ Λυκ: Ιϛ΄. 22. Καὶ Πράξ: Ε΄. 6. 10)

Ὁ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης, ἐν τῷ περὶ τῆς Ἐκκλησ: Ἱεραρχ: Κεφ: Ζ΄. „Τοιάδε γράφει: „Οἱ μὲν Ἱερὰν ἐχηκότες „ζωὴν, εἰς τὰς ἀληθεῖς ἐπαγγελίας τῆς „Θεαρχίας ἀποσκοποῦντες, μετὰ βεβαίας „καὶ ἀληθοῦς τῆς ἐλπίδος ἐν εὐφροσύνῃ „θείᾳ πρὸς τὸ τοῦ θανάτου πέρας ἴασιν, „ὡς ἐπὶ τέλος ἱερῶν ἀγώνων. Συναγα-„γὼν ὁ θεῖος Ἱεράρχης, παρὰ τὸ τίμιον „Ἱερατεῖον αὐτὸν κατακλίνει, πρὸ τῆς Ἱε-„ρατικῆς εἰσελεύσεως. Εἶτα τελεῖ τὴν „πρὸς Θεὸν εὐχαριστήριον Εὐχὴν ὁ Ἱε-„ράρχης. Ἑξῆς δέ οἱ Λειτουργοὶ τὰς ἐν „τοῖς θείοις λογίοις ἐμφερομένας ἀψευ-„δεῖς ἐπαγγελίας, περὶ τῆς ἱερᾶς ἡμῶν „Ἀναστάσεως ἀναγνόντες, ἱερῶς ᾄδουσι „τὰς ὁμολόγους καὶ ταυτοδυνάμους τῶν „ψαλμικῶν λογίων ᾠδάς. Εἶτα τῶν Λει-„τουργῶν ὁ πρῶτος ἀνακηρύττει τὸν κε-„κοιμημένον, καὶ προτρέπεται πάντας „αἰτη-

„αἰτῆσαι τὴν ἐν Χριστῷ μακαρίαν τε-
„λείωσιν. Εἶτα προσελθὼν ὁ θεῖος Ἱεράρ-
χης, Εὐχὴν ἱερωτάτην ἐπ᾽ αὐτῷ ποιεῖ-
„ται· καὶ μετὰ τὴν Εὐχὴν, αὐτός τε ὁ
„Ἱεράρχης ἀσπάζεται τὸν κεκοιμημένον,
„καὶ μετὰ αὐτὸν οἱ παρόντες ἅπαντες.
„Ἀσπασαμένων δὲ πάντων, ἐπιχέει τῷ
„κεκοιμημένῳ τὸ ἔλαιον ὁ Ἱεράρχης·
„καὶ τὴν ὑπὲρ πάντων Εὐχὴν ἱερὰν
„ποιησάμενος, ἀποτίθησιν ἐν οἴκῳ τιμίῳ
„τὸ Σῶμα, μεθ᾽ ἑτέρων ὁμοταγῶν Ἱερῶν
„Σωμάτων.

2) Εὐχόμενος τοίνυν ὁ Ἀρχιερεὺς ἐπικαλεῖται τὴν Θεοῦ ἀγαθότητα, ἀφεῖναι μὲν τὰ ἐξημαρτημένα τῷ κοιμηθέντι, ὑποδέξασθαι δὲ αὐτὸν εἰς τὴν Βασιλείαν τῶν Μακαρίων, καὶ ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακὼβ ἀναπαῦσαι, ἔνθα ὁ στεναγμὸς, καὶ ἡ λύπη, καὶ ἡ ὀδύνη ἀπέδρα.

3) Ἐκ μαρτυρίας Δωροθέου τοῦ Τύρου μανθάνομεν: ὅτι Βαρνάβας ὁ Ἀπόστολος, πρὶν ἢ τὸν ὑπὲρ Χριστοῦ ὑποστῆναι θάνατον, Μάρκῳ τῷ Συναποστόλῳ φθάσας παρήγγειλεν, ἵνα τὸ ὑπὸ Ματθαίου συγγραφὲν Εὐαγγέλιον ἐπὶ τοῦ στήθους αὐτῷ ἐπιθῇ ἐνταφιασθησομένῳ. Πρὸς τόδε τοίνυν

νιυ τὸ παράδειγμα, καὶ τῷ Ἀρχιερεῖ τεθνηκότι ἐπιτήδειον τὸ Ἱερὸν Εὐαγγέλιον ἐκράτησεν ἐπιτίθεσθαι. (Μέτιθι τὴν ἐν τῷ Μηναίῳ ἀνάγνωσιν, ἐπὶ τῆς ΙΑ΄. ἡμέρας τοῦ Μηνὸς Ἰουνίου.)

4) Τὸ τὴν Εὐχὴν τῆς ἀφέσεώς τε καὶ λύσεως ἐπὶ τῷ Νεκρῷ, οὐχ ὅπως ἀναγινώσκεσθαι, ἀλλὰ καὶ ἐν χερσὶν αὐτῷ ἀνάγραπτον παρατίθεσθαι ἔθος, ἐπικρατῆσαι ἐν Ῥωσσίᾳ, ἐπὶ Θεοδοσίου τοῦ Σπηλαίου χρηματίσαντος Ἡγουμένου, ἱςόρηται. Ἐπειδὴ γὰρ Σίμων, ὃς ἐν Ἀρχῇ καθεςὼς ὑπῆρχεν, ἱκετεύσας αὐτὸν ἠτήσατο, ὅπως ἂν τῆς παρ᾽ αὐτοῦ εὐλογίας τεύξοιτο, καὶ ζῶν τε καὶ μετὰ θάνατον, διὰ τοῦτο Θεοδόσιος πρὶν ἢ τεθνᾶναι, ἀγάπῃ τῇ πρὸς ἐκεῖνον κινούμενος, ὑπὲρ ἐπιλύσεως τῶν πλημμελημάτων Ἱερὰν Ἱκεσίαν αὐτῷ παρέλιπεν ἔγγραφον. Ἣν ὁ Σίμων, παρ᾽ ἑαυτῷ διασώζων, ἰσχυρῶς ἐνετείλατο, ἵνα καὶ νεκρωθέντι ἤδη ταῖς χερσὶν ἐμπαρατεθείη. Ἐκ δή τούτου κατήρξατο ἐν Ῥωσσίᾳ τὸ ἔθος τοῦ τὴν εὐχὴν τῆς ἀφέσεως τῶν παραπτωμάτων καὶ λύσεως, τοῖς τετελευτηκόσιν ἀνάγραπτον ἐγχαρίζεσθαι. (Ὅρα ἐν τῷ Μηναίῳ Αὐγούστου Μηνὸς ἡμέρᾳ ΙΔ΄.)

5) Πρὸς Ἀνάπτυξιν σαφεςέραν τῶν Εἰρημένων Τελετῶν καὶ ψαλμῳδημάτων, μέτιθι Ἐυσέβιον εἰς τὸν Βίον τȣ̃ Μεγάλȣ Κωνςαντίνȣ, Βιβλ: Δ΄. Κεφαλ: ΚΑ΄. Καὶ τὸν αὐτὸν ἐν τῳ Ζ΄. Βιβλ: τῆς Ἱςορίας, Κεφαλ: Ις΄. Καὶ Σωζόμενον ἐν Βιβλ: Ε΄. Κεφαλ: ΙΘ΄. Καὶ τὸν Ναζιαν: Γρηγόριον ἐν τῷ Ἐπιταφίῳ Λόγῳ, τῷ εἰς Καισάριον τὸν ἑαυτȣ̃ Ἀδελφὸν. Καὶ Γρηγόριον τὸν Νύσσης, εἰς τὸν Βίον Μακρίνης. Καὶ τὸν Χρυσόςομον, ἐν Δ΄. Ὁμιλ: εἰς τὴν πρὸς Ἑβραίους. Καὶ τῶν εἰς Ματθ: Ὁμιλ: ΛΓ΄. καὶ τῶν εἰς Ἰωάννην ΞΑ΄. καὶ εἰς τὴν πρὸς Φιλιππ: Ὁμ: Γ. Καὶ Κυπριανὸν, ἐν Ἐπις: ΛΖ΄. Καὶ Ἀθανάσιον πρὸς Ἀντίοχον, ἐν Ἀποκρίσει ΛΔ΄.

---

# ΚΕΦΑ'ΛΑΙΟΝ ΙΘ΄.

## Διερμήνευσις τῶν Ὀνομάτων, Ἴῶν εἰς Ἀνάπτυξιν τῶν Ἐκκλησιαστικῶν Τελετῶν καὶ Θεσμῶν, ἐν χρήσει γινομένων.

### ἈΚΑ'ΘΙΣΤΟΣ.

Ἑλληνικὴ ἡ Φωνὴ, Ἐκκλησιαστικόν τινα διασημαίνουσα Ὕμνον, οὗ παρατείνοντος, οὐ θέμις καθέζεσθαι, δέον ὀρθίους τοὺς παρόντας ἑστάναι (Τυπικ: τοῦ Ἁγ: Σάββα, Κεφαλ: ΛΒ΄.)

### ἈΚΡΟ'ΣΤΙΧΑ.

Τὰ τῶν Γραμμάτων Στοιχεῖα, τὰ ἐν ἀρχαῖς τῶν Τροπαρίων ἐπίτηδες παραλαμβανόμενα, ὥστε ἐξ αὐτῶν καθεξῆς συναπτομένων, τοὔνομα συντίθεσθαι τὸ τοῦ Ἁγίου, ἢ τοῦ Συγγράψαντος· ταῦτα ἐστὶ τὰ Ἀκρόστιχα. Πολλαχοῦ δὲ ἀπαντᾷ, μάλιστα ἐν τοῖς Κανόσι τῶν Ἑορτῶν, καὶ τοῖς ἐν τῷ Τριῳδίῳ.

ΑΛΛΗ-

## ἈΛΛΗΛΟΎΪΑ.

Ἑβραϊκὴ ἡ λέξις· κατὰ δὲ Ἰϛῖνον τὸν Μάρτυρα (ἐν Η΄. τῶν πρὸς τὲς ὀρθόδοξες Ἀποκρίσ: (Ἑρμηνεία τὲ Ἀλληλεΐα ἐςὶ, τό: Ὑμνήσατε μετὰ μέλες τὸ ὌΝ· Καὶ Αὐγες: δὲ, ἐν Ὁμιλ: Α΄. καὶ ς΄. Καὶ Ἀρνόβ: εἰς ψαλμ: ΠΔ΄. Καὶ Ἀμβρόσιος περὶ τὲ Δαβίδ. Καὶ Γρηγόριος ὁ Νύσ: εἰς τὲς Ψαλμὲς. Καὶ ἡ Ἀποκάλυψις ἐν Κεφαλ: ΙΘ΄. Ἔδαφ: 5. καὶ 6. τὴν αὐτὴν ἔννοιαν ἑρμηνεύοντες παριςῶσι. Διονύσιος δὲ ὁ Ἀρεοπαγίτης ἐν τῷ περὶ τῆς Ἐκκλησιας: Ἱεραρχ: Κεφαλ: Δ΄. Τὸ Ἀλληλεΐα (φησὶν) εἰωθὸς ἦν ψάλλεσθαι, ἐν τῷ ἁγιάζεσθαι τὸ Μύρον· καὶ ἐν τῷ τελεσιεργεῖσθαι τὴν Χρίσιν.

## ἈΛΤΑ΄ΡΙΟΝ.

Λατινικὸν τὸ ὄνομα. Σημαίνει δὲ τόπον ἐξέχοντα· οἷον εἰπεῖν Βωμὸν, ἢ Θρόνον, ἢ Τράπεζαν, ἐφ᾽ ἧς τὰ Δῶρα καθαγιάζεται. (Ὅρα Χρυσόσ: Ὁμιλ: εἰς τὴν Πεντηκοςήν. Διονύσ: τὸν Ἀρεοπαγ: ἐν τοῖς περὶ τῆς Ἐκκλησ: Ἱεραρχ: Κεφ: Β. Τμήμ: Δ΄. Εὐσέβ: Βιβλ: Γ΄. Κεφαλ: Δ΄. ἐν τῷ Πανηγ: Λόγῳ, τῷ περὶ τῆς λαμπρότητος, καὶ τῆς δόξης τῶν καθ᾽ ἡμᾶς πραγμάτων.



7

## ἌΜΒΩΝ

Τόπος ἐν μέσῳ τῦ Ναῦ, ὕψει ἐξέχων τῦ λοιπῦ ἐδάφυς· ἐφ' ῦ τὸ Ἱερὸν ἀναγινώσκεται Εὐαγγέλιον, καὶ αἱ Πράξεις τῶν Ἀποςόλων, καὶ αἱ Ἐπιςολαί. Ὅυτω δ' Ἑλληνιςὶ καλεῖται ὁ τόπος, παρὰ τὸ ἐν ἀναβάσει εἶναι, οἷον εἰπεῖν Ἀνάβων· ὁ καὶ ἄλλως, Ὀκρίβας λεγόμενος. (Ἡ ἐν Λαοδικ: Συνόδ: Καν: ΙΕ΄. τύτυ μέμνηται, καὶ ἡ ἐν Τρύλλῳ Καν: ΛΓ΄. Καὶ Σωκράτ: Βιβλ: ς΄. Κεφ: Ε΄.)

## ἈΜΗΝ

Ἑβραϊςὶ σημαίνει τὸ: Πιςῶς, δικαίως, ἀληθῶς, τῷ ὄντι. ἔςιν ἔςιν· ἐφ' ἔτως· Εἴηγε· ἤ, ὃ ταυτὸν ἐςὶ, γένοιτο. (Λυκ: Κεφ: ΚΑ΄. 3. Καὶ Β΄. πρὸς Κορινθ: Ε΄. 19. Ἰυςῖνος δ' ὁ Μάρτυς ἐν τῇ Β΄. τῶν Ἀπολογ: τὸ ἐςὶ (φησὶ) λέγει, τὸ ἔςω. Ὅρα καὶ Ὠριγεν: ἐν Γ΄. τῶν κατὰ Κέλσυ, Κεφ: Η΄. Καὶ Κλήμ: τὸν Ἀλεξ: ἐν Στρώμ: ΟΖ΄. Καὶ Θεοδώρητ: ἐν Γ΄. Βιβλ: τῆς Ἱςορ: Κεφ: ΙΑ΄. Καὶ Ναζιανζ: κατὰ Ἰυλιανῦ, ἐν τῷ Α΄. τῶν Στηλιτευτ:, Καὶ Νικηφόρ: Κάλλιςον ἐν Βιβλ: ΙΔ΄. Κεφ: Ι. Καὶ Χρυσόςἰ εἰς τὴν Β΄. πρὸς Κορινθ: Ὁμιλ: Γ΄.).

## ἈΝΑΒΑΘΜΟΊ

Τροπάρι ἄττα, ἐναλλήλως ὑπὸ ἑκατέρȣ τȣ̃ χοροῦ κατὰ βαθμίδας χωρȣ̃ντος ἀντεπᾳδόμενα. (Ὅρα καὶ ἈΝΤΊΦΩΝΑ.

## ἈΝΆΔΟΧΟΣ

Νικήτας (1) ἐν ταῖς αὐτȣ̃ Ἀποκρίσεσι, Πατέρα, τȣ̃τον, πνευματικὸν ὀνομάζει. Ὁ δὲ Χρυσός: ἐν τῇ Β΄. Ὁμιλ: τῇ ἐν τῷ Ε΄. Τόμῳ τῶν αὐτȣ̃ Συγγραμ: ȣ̓χ ἡ γέννησις, φησὶ, ἀλλὰ καὶ ἡ καλὴ ἀγωγὴ, ποιεῖ τὸν Πατέρα. Ταύτητοι (2) καὶ Ὁδηγὸς ἀκȣ́ει ὁ Ἀνάδοχος. Γράφει δὲ καὶ ὁ Ἀρεοπαγίτης, ἐν τῷ περὶ τῶν Θείων Ὀνομ: Κεφ: Β΄. Ὁ κοινὸς ἡμῶν, καὶ τȣ̃ Καθηγεμόνος ἐπὶ τὴν θείαν φωτοδοσίαν χειραγωγὸς, ὁ πολὺς τὰ θεῖα. (3) Καὶ παιδαγωγὸς δὲ καλεῖται ὁ Ἀνάδοχος: „Ἔδοξεν εἰσδέχεσθαι τὰ βρέφη κατὰ τόνδε τὸν Ἱερὸν τρόπον, ὥστε τȣ̀ς φυσικȣ̀ς τȣ̃ προσαγορευομένȣ παιδὸς γονέας, παραδιδόναι τὸν παῖδα τινὶ τῶν μεμυημένων, ἀγαθῷ τὰ θεῖα παιδαγωγῷ καὶ τὸ λοιπὸν ὑπ' αὐτῷ τὸν παῖδα τελεῖν, ὡς ὑπὸ θείῳ πατρὶ, καὶ Σωτηρίας ἱερᾶς „Ἀναδόχῳ.

ἈΝΑΘ·

## ἈΝΑ͂ΘΕΜΑ

Ὁ θεῖος Χρυσόστομος, ἐν Ὁμιλ: Ις΄. εἰς τὴν πρὸς Ῥωμ: Ἐπισ: Κεφ: Θ΄. οὕτω „γράφει: „Τί οὖν ἐστὶ τὸ Ἀνάθεμα; Ἄκου„σον αὐτοῦ λέγοντος: εἴτις οὐ φιλεῖ τὸν „Κύριον Ἰησοῦν Χριστὸν, ἔστω Ἀνάθεμα. Τουτέστι: κεχωρίσθω πάντων· Ἀλλότριος ἔστω „πάντων.

## ἈΝΑΛΟΓΕΙ͂ΟΝ

Τραπεζοειδές τι στήριγμα, ἐφ᾽ οὗ τε τίθεται, καὶ ἀφ᾽ οὗ ἀναγινώσκεται τὰ Ἱερὰ Βιβλία ἐπ᾽ Ἐκκλησίας, ὂς γ᾽ ἐπὶ τὸ στῆθος ἱκνέμενον τοῦ ὀρθοστάδην ἀναγινώσκοντος. Οὕτω δὲ παρ᾽ Ἕλλησι κέκληται, ὅτι τὸ ἀναλέγεσθαι, αὐτὸ τοῦτο ἀναγινώσκειν παρ᾽ αὐτοῖς ἐστί. (Περὶ τούτου ὅρα ἐν τῷ Τυπικῷ τοῦ Ἁγ: Σάββα, Κεφαλ: Β΄. Καὶ τὸν θεῖον Βασίλειον ἐν Ὁμιλ: Θ΄. τῶν εἰς τὴν Ἑξαήμερον· καὶ εἰς τὸν Α΄. Ψαλμόν.

## ἈΝΑΦΟΡΑ͂

Ἀναστάσιος ὁ Σιναΐτης, ἐν τῷ περὶ τῆς Εὐχαριστίας Λόγῳ, τὴν προσφορὰν ὀνομάζει Ἀναφορὰν, καθ᾽ ὅτι πως ἐξαιρομένη πρὸς Θεὸν ἀναφέρεται.

ἈΝΤΙ΄-

## ἈΝΤΙΔΩΡΟΝ

Ἦν ἔθος πάλαι τῇ Ἐκκλησίᾳ, ἐκ τῶν προσφερομένων Ἄρτων τὰς ὑπολειπομένας δωρεὰν παρέχεσθαι τοῖς ἐνδεέσιν· ἐπὶ δὲ τοῖς Λειψάνοις τούτοις, καὶ τὸ ἄριστον σωίσατο τῶν πενήτων· ἐν γεμὼ τοῖς ἐφεξῆς χρόνοις, κατὰ ζῆλον τοῦ τοιούτου, ἐπεὶ οὐ πάντες οἱ παρεστῶτες προσίασι τῇ Μεταλήψει τοῦ Μυστηρίου, τὸ ὑπόλοιπον ἐκ τοῦ προσενεχθέντος Ἄρτου, τμήδιω ὑπὸ τοῦ πρεσβυτέρου διανέμεται τοῖς πιστοῖς, ὡς δῶρον εὐλογίας αὐτὸ λαμβάνουσι. (Χρυσός: ἐν Ὁμιλ: ΚΖ΄. εἰς τὴν Α΄. πρὸς Κορινθ:, καὶ Θεοδώρητος ἐν Βιβλ: . . . . Κεφ: ΙΑ΄. καὶ Συμεὼν ὁ Θεσσαλονίκ: ἐν τῷ περὶ τῆς Λειτουργ: Κεφ: Ι΄.

## ἈΝΤΙΜΗΝΣΙΟΝ

Κατὰ τὴν Ἀρχαίαν τῆς Ἐκκλησίας διάταξιν, ἡ τοῦ Ναοῦ καθιέρωσις, καὶ ἡ ἐπὶ τοῦ Θυσιαστηρίου κατάθεσις τῶν Ἱερῶν Λειψάνων ἐν αὐτῷ, τελετουργία τις ἦν τῷ Ἐπισκόπῳ μόνῳ ἀνήκουσα. Ἀλλὰ γὰρ τοῦ Ἀρχιερέως ἐν ἄλλαις περισπωμένου Πράξεσι, διά τε τὰς μακρὰν ἀλλήλων ἀπεχούσας Χώρας, αὐτοπροσώπως ἀπα-

ἁπάσαις παρεῖναι ταῖς ὑπ' αὐτὸν Ἐκκλησίαις μὴ ἔχοντος, ἐπὶ τῷ ταύτας, δεῆσαν καθιερϐν· διὰ δὴ τϐτο ὥρισαι, ἐπὶ ὀθονίϐ, τὸν ἐνταφιασμὸν τϐ Σωτῆρος εἰκονικῶς παριςῶντος, ἐφ' οὗ τὰ Ἅγια Μυςήρια ἐπιθετέον, τὴν Καθιέρωσιν τελεσιϐργεῖσθαι, ἐν αὐτῷ ἤδη καὶ τῶν λειψάνων τῶν Ἱερῶν ἐναποκειμένων. Διὸ καὶ τὸ τοιϐτον ὀθόνιον ὀνομάζεται Ἀντιμιώσιον· ὅπερ ἐςὶν, ἀντὶ τῆς Μισης, ἤτοι τῆς Τραπέζης τόπον ἐπέχον. mensa γὰρ Λατινιςὶ καλεῖται ἡ Τράπεζα. Διαπεμφθὲν δὲ τὸ Ἀντιμιώσιον ἐπὶ τὸν ἀρτίως οἰκοδομηθέντα Ναὸν, τίθεται ὑπὸ τϐ Ἱερέως ἐπάνω τϐ Θυσιαςηρίϐ, ὅ φθάσαν ἐνθεσμως προπαρεσκεύαςό τε καὶ κεκαλλώπισο. (Συμε: Θεσσαλ: Κεφ: ΠΗʹ. Καὶ Βαλσαμ: ἐν Καν: ΛΑʹ. τῆς ἐν Τρϐλ: Συνόδϐ.)

## ΑΝΤΙΦΩΝΑ

Ἐκλογαὶ τινὲς εἰσὶ ταῦτα ἐπῶν Ψαλμικῶν, τῶν ἐξ ἀμφοτέρων τῶν Χορῶν ἐναλλὰξ ἀντεπᾳδομένων. Πρῶτος δὲ ὁ τὰ τοιαῦτα ᾄσματα φέρεται ςήσας, ὁ Θεοφόρος Ἰγνάτιος. (Σωκρ: Ἐκκλησ: Ἱςορ: Βιϐλ: ςʹ. Κεφ: Ηʹ. Καὶ Βασίλ: ὁ Μέγ: ἐν Ἐπις: τῇ πρὸς τὸν Νεοκαισαρ: Κλη-

Κληρον. Καὶ Νικηφ: ὁ Κάλλιςος Βιβλ: ΙΓ΄. Κεφ: Η΄.)

### ἌΞΙΟΣ

Ἡ Ἑλλιωικὴ Φωνὴ αὕτη μαρτυρεῖ τὸν ᾧ προσηκόντως καὶ δικαίως: ὅτιȣ̃ν ἀποδίδοται. Ἐκφωνεῖται δὲ τὸ Ἄξιος ὑπὸ τȣ̃ Κλήρȣ καὶ τȣ̃ Λαȣ̃ ἐν ταῖς Ἀρχαιρεσίαις τε καὶ Χειροτονίαις, ἐπὶ παντὸς Ἀξιώματος. (Διατα: Ἀπος: Βιβλ: Η΄. Κεφ: Δ΄.)

### ἌΣΤΡΟΝ

Ἐπιτίθεται δὴ τȣ̃το, καμαροειδῶς ἐπεξειργασμένον, ἐπὶ τȣ̃ Δισκαρίȣ, ὑπὲρ τὸν Ἀμνὸν ἐπιδιακυρτȣ́μενον, εἰς τύπον τȣ̃ Ἀςέρος τȣ̃ ἐποφθέντος τοῖς Μάγοις, καὶ ςαθέντος ἐπάνω ȣ̃ ἦν τὸ Παιδίον. (Συμ: Θεσσαλ: ἐν τῷ περὶ τῆς Λειτȣργ: Κεφ: ΠΕ΄. καὶ ϥϛ΄.)

### ΒΑΪ́ΟΝ

Αἰγύπτιος ἡ Φωνὴ σημαίνει δὲ Φοίνικος κλάδον. (Ἰωάν: Κεφ: ΙΒ΄. Ἐδαφ: 13. Ἐπιφάνιος ἐν τῷ περὶ τῶν Ἁγίων Τόπων, ἤτοι Χωρίων.)

### ΒΕΛΊΑΡ

Ἑβραϊςὶ ἀχάλινος, ἀποςάτης, καὶ βλάσφημος· ὑπὸ δὲ τῷ δε τῷ ὀνόματι Ἰȣςῖνος ὁ

7

ὁ Μάρτυς ἐν Ἐπις: ΠΒ΄. νοεῖ τὸν Διάβολον. Ὡσαύτως δὲ καὶ ὁ θεῖος Χρυσόςομ: ἐν τῇ Β΄. Ὁμιλ: τῶν εἰς τὴν Β΄. πρὸς Κορινθ:

ΔΙΑ'ΚΟΝΟΣ

Παρ: Ἕλλησιν ὁ θεράπων, καὶ ὑπεργὸς, καὶ ὑπηρέτης. Ἐπὶ δὲ τῶν Ἀποςολικῶν χρόνων, οὕτως ἀπεκαλοῦντο οἱ Διανομεῖς τῶν Ἐλεημοσυνῶν· οἱ ἐπὶ τῆς ἐν τῇ Ἐκλησίᾳ ἐυταξίας ἐπιςάται· οἱ ὑπεργοί ἐπὶ τῶν Μυςικῶν τελετῶν· οἱ Κήρυκες καὶ Διακωνυταὶ τῶν κοινῶν καὶ δημοτελῶν Δεήσεων, καὶ προσαγγελεῖς τῶν Ἐπισκοπικῶν θεσπισμάτων. (Πράξ: Ἀποςολ: Κεφ: ς΄. Ἡ ἐν Τρέλλ: Σιώοδ: Καν: Ις΄. Ζωναρᾶς ἐν τῷ ἐπὶ τοῦ αὐτοῦ Κανόν: Σχολιάσματι. Ἡ Σιώοδ: ἡ ἐν Νεοκαισαρ: Καν: ΙΔ΄.)

ΔΙΚΗ'ΡΙΟΝ

Περὶ τούτου ὅρα κατωτέρω ἐν τῷ περὶ τοῦ Τρικηρίου.

ΔΙ'ΠΤΥΧΙΑ

Πίνακες εἰσὶ πτυκτοί, ἐν οἷς ἑκατέρωθεν ἔωθε γράφεσθαι τὰ Ζώντων τε καὶ Τεθνεώτων ὀνόματα, τῶν ὑπὸ τῆς Ἐκλησίας μνημονευομένων. (Χρυσός: ἐν τῇ

Ἐπις:

Ἐπις: τῇ πρὸς Ἰννοκέντιον· Κεφ: ιϛ´. Καὶ Ὀπτάτος ἐν Βιβλ: Β´. Καὶ Κύριλλ: Ἀλεξανδρ: ἐν Ἐπις:)

ἘΘΗΜΩ῀Ν

Ἐπὶ τοῦ Μεγάλου Ἀποδείπνου, ψάλλεται κατὰ στίχους ὑπὸ ἀμφοτέρων τῶν Χορῶν ἀντιφωνούμενον τὸ: Μεθ' ἡμῶν ὁ Θεός· καὶ τὸ: Κύριε τῶν Δυνάμεων μεθ' ἡμῶν γενοῦ· κτ: Ὅθεν παρὰ Ῥώσσοις ἡ πρὸς Ἑσπέραν γινομένη τοιάδε ἱκεσία καὶ δέησις, ἘΘΗΜΩ῀Ν κοινῇ εἴωθεν ὀνομάζεσθαι, κατὰ παραφθορὰν τῆς Ἑλληνικῆς προφορᾶς τε καὶ Λέξεως ΜΕΘ' ἩΜΩ῀Ν.

ἘΙΚΩ῀Ν.

Ἀθανάσιος ἐν Ἀποκρ: ΛΘ´. τῶν πρὸς Ἀντίοχον: Οἱ δὲ ἐξ ἀλαζονείας ἀποστρεφόμενοι προσκυνεῖν τὸν Σταυρὸν, καὶ „τὰς Εἰκόνας, εἰδέτωσαν οἱ ἀνόητοι, ὅτι „οὐχ ὡς Θεοὺς προσκυνοῦμεν τὰς Εἰκόνας, „ὡς οἱ Ἕλληνες· ἀλλὰ μόνον τὴν σχέσιν, „καὶ τὴν ἀγάπην τῆς ψυχῆς ἡμῶν, „τὴν πρὸς τὸν χαρακτῆρα τῆς Εἰκόνος „ἐμφανίζομεν· Τί φασὶ πρὸς ταῦτα οἱ „μὴ ἐπιτρέποντες προσκυνεῖν τοὺς χαρακτῆρας τῶν Ἁγίων, οὓς τινας δι' ὑπόμνησιν καὶ μόνον ἐκτυποῦμεν;



7

## ΕἹΡΜΟ'Σ

Τὸ ἐν τῇ Ὠδῇ πρῶτον Τροπάριον, ᾧ καὶ τὰ ἄλλα τὰ ἑπόμενα ἐπιῤῥυθμιζόμενα συνεπιμορφᾶται, ποδῶν τε ἀριθμῷ, καὶ συλλαβῶν ὁμοίως, καὶ τόνων, ὡς ἰσοῤῥύθμως τε καὶ ἐναρμονίως ᾄδεσθαι. (Ἐν τῷ Τυπικῷ τοῦ Ἁγ: Σάββα, Κεφ: ΙΑ΄.)

## 'ΕΚΤΕΝΗ'Σ

Δέησις ἐκτεταμένη, ἣ πρὸς Θεὸν ἐνδελεχῶς ἀναπέμπεται. Ἐκτενεῖς δ' ἐν τῇ Ἐκκλησίᾳ καὶ αἱ ἱκεσίαι καλοῦνται πᾶσαι, αἷς καί τι ᾆσμα ἐπιπροϊὸν ἐφέπεται. (Ὅρα Χρυσόστ: ἐν Ὁμιλ: ΙΔ΄. τῶν εἰς τὴν πρὸς Ῥωμ: Ἐπισ:) Ἐπειδὴ γὰρ „πολλὰ (φησὶ) τῶν συμφερόντων ἡμῖν „ἀγνοοῦντες, τὰ μὴ συμφέροντα αἰτοῦμεν, „ἦρχετο χάρισμα εἰς ἕνα· ὃ καὶ νῦν „σύμβολόν ἐστιν ὁ Διάκονος, τὰς ὑπὲρ „τοῦ δήμου ἀναφέρων εὐχάς. Τοῦτο τοί„νυν δηλῶν ὁ Παῦλος ἔλεγεν: Αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει κτ: (Ὅρα καὶ Πραξ: Κεφ: ΙΒ΄. 5. Καὶ Α΄. Πέτρου Κεφ: Γ΄. 8. Καὶ Β΄. τῶν πρὸς Τιμόθ: Κεφ: Α΄. 3.)

## 'ΕΞΑΠΟΣΤΕΙΛΑ'ΡΙΟΝ.

Οἷα τις ἐπίλογός ἐστι τοῦ Κανόνος τοῦτο, τὴν ὑπόθεσιν περιέχον, ἤτοι τὴν

ȣσιώδη τȣ̃ Εὐαγγελίȣ περίληψιν, τȣ̃ ἀναγινωσκομένȣ ἐν τῇ κατ᾽ ὄρθρον ἀκολȣθίᾳ. Παράγεται δὲ τὸ ὄνομα Ἐξαποστειλάριον, ἀπὸ τȣ̃ Ἑλληνικȣ̃ ῥήματος, ἐξαποστέλλω· Ἀλλὰ τὰ ἐν τῷ Ἐξαποστειλαρίῳ λεγόμενα ἐνίοτε παρίστησι, καὶ τὴν τῶν Ἀποστόλων εἰς τὸν κόσμον ἀποστολὴν, πρὸς τὸ κηρύξαι τὸ Εὐαγγέλιον. Ἢ καὶ ἄλλως, Ἐξαποστειλάριον εἴρηται, ὅτι ἐπᾴδεσθαι εἴωθε. τȣ̃ Ἡλίȣ τὸ σέλας ἐπὶ γῆς διαπέμποντος, τῆς ἡμέρας ἤδη ἐπιφωσκȣ́σης· ὡς Μάρκος ὁ Ἐφέσȣ, περὶ τῆς Ἐκκλησιαστικῆς Ἀκολȣθίας γράφων φησίν. Ἀλλὰ τῶν προτεθεισῶν τȣ̃ Ἐξαποστειλαρίȣ Σημασιῶν τὴν μὲν προτέραν τῇ Κυριωνύμῳ ἡμέρᾳ προσαναπτέον· τὴν δὲ δευτέραν, ἐπὶ τὰ Τροπάρια ἀνακτέον τῶν λοιπῶν ἡμερῶν, ἃ καὶ Ἑωθινὰ, καὶ Ἐπόρθρια λέγεται.

ἘΞΑΨΑΛΜΟΣ.

Ἐκλογὴ Ψαλμῶν ἕξ, οἵτινες μετανοȣ́σης ψυχῆς συντριβὴν περιέχȣσι, καὶ δοξολογίαν τὴν πρὸς Θεὸν ἀναπεμπομένην, καὶ ἑτέρας ἱκετηρίȣς ἐντεύξεις, τὰς ἐν καιρῷ τῷ κατ᾽ ὄρθρον μάλιστα προσηκόντως ἐχȣ́σας γίνεσθαι. (Μέτιθι ἐν τῷ

τῷ Τυπικῷ τȣ̃ Ἁγ: Σάββα. Κεφ: Β΄. τὰ εἰς τὸν Ὄρθρον.

ἜΠΗ.

Στιχȣργίαι τινὲς εἰσὶν, ἐπιγραφικῶς τῶν Συναξαρίων προτασσόμεναι, ἐν μέτρῳ ποιητικῷ Ἰαμβικῷ τυχὸν, ἢ καὶ Ἡρωϊκῷ. Περιέχει δὲ τὰ τοιαῦτα Ἔπη Τροπολογίαν τινὰ, ἢ αἴνεσιν, ἥνπερ αὐτὸ ὑπαγορεύει τὸ Συναξάριον.

ἘΠΙΓΟΝΆΤΙΟΝ.

Ὕφασμά τι ἐςὶν εὐπρεπὲς, τῷ Ἐπισκόπῳ, ἢ καὶ Πρεσβυτέρῳ, τὴν ἱερὰν ςολὴν ἠμφιεσμένῳ, πλευρόθεν ἐπανηρτημένον, καὶ τὸν δεξιὸν μηρὸν ὅλον ἄχρι γόνατος ἐπικαλύπτον, καὶ τὴν ἐξ ὕψȣς χορηγȣμένην αὐτῷ ἀξίαν τε καὶ δύναμιν σημαῖνον. (Ὅρα Μάρκ: τὸν Ἀλεξανδρ: Πατριάρχην ἐν Ἐρωτ: Μ.)

ἘΠΙΣΚΟΠΟΣ.

Οἷον, ἄλλως εἰπεῖν Ἐπισκέπτωρ καὶ Ἔφορος. Ἀπονέμεται δὲ τὸ ἐπώνυμον, μόνῳ τῷ τῆς Ἐκκλησίας κορυφαίῳ ποιμάντορι. (Α΄, πρὸς Τιμόθ. Κεφ: Γ΄. 1. Χρυσός: εἰς τὴν Α΄. πρὸς Τιμόθ: Ὁμιλ: Γ΄.)

ἘΠΙΤΙ-

## ἘΠΙΤΙΜΙΆ, ἢ ἘΠΙΤΊΜΙΟΝ.

Ἐπίπληξις, ἤ ποινήτις, ἡ παρὰ ΄ῆς Ἐκκλησίας, ἐπὶ συςολῇ τε, καὶ ἐλεγμῷ, καὶ ἐπανορθώσει τȣ ἐξαμαρτήσαντος γινομένη. (Ὅρα Διατ: Ἀποσ: ΟΓ. καὶ ΟΔ΄. Καὶ τῆς ἐν Χαλκηδ: Συνό: Καν: Γ. Καὶ Γρηγορ: Ναζιανζ: Λόγ: Μ΄. περὶ τȣ Ἁγ: „Βαπτίσματος. „Σὺ μὲν δεήσῃ τȣ Δεσπότȣ τυχὸν, ὁ καλὸς καὶ φιλάνθρωπος „Γεωργὸς, ἔτι φείσασθαι τῆς συκῆς, καὶ „μήπω ταύτην ἐκτεμεῖν ἐγκαλȣμένην „τὸ ἄκαρπον· ἀλλὰ συγχωρηθῆναι περιβαλεῖν κόπρια, δάκρυα, ςεναγμȣς, ἀ„νακλήσεις, χαμευνίας, ἀγρυπνίας, τῆ„ξιν ψυχῆς καὶ σώματος, τὴν δι' ἐξαγο„ρεύσεως, καὶ ἀτιμοτέρας διαγωγῆς ἐπανόρθωσιν. (Ὅρα καὶ Χρυσός: εἰς τὴν πρὸς Ῥωμ: Ὁμιλ: ΙΔ΄. καὶ τὸν αὐτὸν εἰς τὴν Β΄. πρὸς Κορινθ: Ὁμιλ: ΙΕ΄.)

## ἘΠΙΤΡΑΧΗΛΙΟΝ.

Τȣτο ἐςὶν, ὅπερ ὁ Ἱερεὺς ἀπὸ τȣ Τραχήλȣ φέρει ἀπηρτημένον ἐπὶ τὰ ἔμπροσθεν, ἐν πόρπαις ἄχρι ποδῶν ἐπισυναπτόμενον. Ἄνευ δὲ τȣ́τȣ τῷ Ἱερεῖ τὰς πρὸς Θεὸν δεήσεις ὑπὲρ τȣ Λαȣ παῤῥησίᾳ ποιεῖσθαι ȣκ ἐφεῖται. Συμεὼν ȣ̃ν ὁ Θεσ-



σαλ:

σαλ: ἐν τῷ περὶ τῆς τῦ Διακόνου χειροτονίας εἰς Ἱερέα, γράφων φησὶν; „Ὅτι „ὁ Ἐπίσκοπος λαβὼν τὸ Ὠράριον, καὶ „ἀπὸ τῦ ἀριςερῦ τῶν ὤμων, εἰς τὰ „δεξιὰ ἐπὶ ποσὸν μεθελκύσας οὕτω μετατίθησιν, ὥς τὰ δύο τῶν ἄκρων ἐπὶ „τὰ ἐμπρόσθια τῦ χειροτονυμένυ ἐπικατιέναι. Οὕτω δὲ ἄρα σωαρτίζεται τὸ Ὡράριον· τῦτέςιν, Ἐπιτραχήλιον ἐντελὲς ἀποκαθίςαται. (Ὅρα ὩΡΑ'ΡΙΟΝ.)

ἘΥΑΓΓΕ'ΛΙΟΝ.

Εὐκταῖον τι, καὶ χαρᾶς πρόξενον, διὰ τῦ Ἐυαγγελίυ δηλῦται μιώυμα. Διὸ καὶ ἡ τῦ Κυρίυ καὶ Σωτῆρος ἡμῶν Διδασκαλία, ὡς τὼ ἐκ τῆς ἁμαρτίας καὶ τοῦ θανάτυ ἐλευθερίαν ἡμῖν, καὶ δὴ ᾗ ζωῆς τὼ ἀπόλαυσιν τῆς αἰωνίυ διαμιωύυσα, πάνυ εἰκότως ἐπικέκληται Ἐυαγγέλιον. (Χρυσός: εἰς τὰς Πράξ: τῶν Ἀπος: Ὁμιλ: ΙΘ΄.)

ἘΥΛΟΓΙ'Α ἡ διὰ χειρὸς.

Ἡ τοιαύτη Ἐυλογία, Ἁγιασμῦ τις ἐςὶ, δι᾽ εὐχῆς τε καὶ ἱκεσίας, τῇ χειρὸς ἐκτάσει ἐπιχορηγυμένη μετάδοσις. (Ὁ θεῖος Βασίλ:, ἐν Ἐπις: Β΄. πρὸς Ἀμφιλ:, καὶ ἐν Καν: ΚΓ΄. Ὁ δὲ Χρυσόςομος ἐν τῇ

τῇ Β΄. Ὁμιλ: τῶν εἰς τὴν Β΄. πρὸς Κο-
„ρινθ: τοιάδε γράφει: „Κλῖναι τὰς κε-
„φαλὰς κελεύομεν, τεκμήριον τῆ τὰς
„εὐχὰς ἀκυρωθῆναι ποιόμενοι, τὸ τὸν Θεὸν
„εὐλογεῖν· οὐ γὰρ δὴ ἄνθρωπος ἐστὶν ὁ
„εὐλογῶν, ἀλλὰ διὰ τῆς ἐκείνε χειρὸς
„καὶ γλώττης, ΘΕΟ΄Σ.

ΕΥΛΟΓΙ΄Α Ἄρτων.

Γρηγόριος ὁ Ναζιανζ: ἐν Λόγῳ ΙΘ΄.
„περὶ τῆς αὐτῆ Μητρὸς: Ἔδοξεν αὐτῇ
„(φησὶν) ἐμὲ τὸν αὐτῇ φίλτατον . .
„. . . ἀθρόως ἐπιςάντα νυκτὸς, μετὰ
„κανῆ καὶ ἄρτων τῶν λαμπροτάτων·
„ἐπευξάμενον τε αὐτοῖς, καὶ σφραγίσαν-
„τα, ὥσπερ φίλον ἡμῖν, θρέψαι τε καὶ
„δῶσαι, καὶ συναγαγεῖν τὴν δύναμιν. Καὶ
„Χρυσός: ἐν ταῖς τῶν Ἀπος: Πράξ: (Ὁ-
μιλ: ΜΓ΄. Κεφ: Κ΄. Ἐδαφ: 7.) Ὥςε ἐ προη-
„γεμένως εἰς διδασκαλίαν καθῆκεν· ἀλ-
„λὰ συνῆλθον μὲν κλάσαι ἄρτον, ἐμ-
„πεσόντος δὲ λόγε, παρέτεινε τὴν διδασ-
„καλίαν.

ΕΥΛΟΓΙ΄Α Καρπῶν.

Χρυσόςομος τῶν εἰς τὰς Ἀπος: Πράξ:
Ὁμιλ: ΙΗ΄. „Οὕτω σοι εὐλογίας τὸ χω-
„ρίον

„ρίον πληρωθήσεται. Τί γὰρ ἐκ ἔςαι
„ἐκεῖ τῶν ἀγαθῶν; Μικρὸν, εἰπέμοι, τὸν
„λωὸν ηὐλογῆσθαι; μικρὸν ἐξ ὅλων τῶν
„καρπῶν τῶν σῶν, τὸν Θεὸν πρότερον
„ἀπόμοιραν, καὶ ἀπαρχὰς λαμβάνειν;

## ἙΩΘΙΝΟ'Ν.

Τὸ Τροπάριον ὅπερ ἀναγινώσκεται ἐν τῷ τέλει τῆς Ἀκολεθίας τἒ Ὄρθρε, κατὰ τὼ ἕω τετέςιν, ἤ τῆς ἡμέρας ἐπιφωσκέσης. (Ὅρα καὶ ἘΞΑΠΟΣΤΕΙΛΑ'ΡΙΟΝ.

## ΖΩ'ΝΗ.

Ὁ Ζωςὴρ, δἰ οὗ ἡ ἐσθὴς σωέχεται, ὡς μὴ διαῤῥεῖν. Ἔςι δὲ καὶ τιμῆς σημεῖον καὶ ἀξιώματος. Ὑπεμφαίνει δέ προσέτι ἡ Ζώνη καὶ τῆς ὁδἒ τὸ ἀκέραιον, τῆς ἀπροσκόπως ἐφικνεμένης ἐπὶ τὼ τοῦ κατ᾽ ἀρετὼ βίε ἀνάβασιν.

## ΘΥΜΙΑΤΗ'ΡΙΟΝ.

Σκεῦος, ἐν ᾧ οἱ ἀνημμένοι ἐντίθενται ἄνθρακες, πρὸς τὸ διὰ Λιβανωτἒ ἐπιβαλλομένε θυμιᾶσαι· ἔσθ᾽ ὅτε γεμιὼ καὶ λαμπάσι καιομέναις τὸ τἒ Θυμιατηρίε ὄνομα προσάπτεται.

ΚΑ'ΘΙΣ-

## ΚΑ'ΘΙΣΜΑ.

Ἀπὸ τοῦ καθίζεσθαι ῥήματός τε καὶ πράγματος. Ἡ μὲν οὖν τοῦ ὅλου ψαλτῆρος ἀνάγνωσις, ἐν εἴκοσι διῄρηται Τμήμασι. Καί τοι γε τοὔνομα: ΚΑ'ΘΙΣΜΑ, τὸ ἐν τοῖς εἰρημένοις Τμήμασιν ἐπιγραφόμενον, οὐκ ἐπὶ τοὺς ψαλμοὺς αὐτοὺς ἀναφέρεται, ἀλλ' ἐπὶ τὸ Ἆσμα τῶν Τροπαρίων· ἢ ἄλλως, καὶ ἐπὶ τὴν τῶν Ἐκκλησιαστικῶν Λόγων, τῶν μεταξὺ τῶν Τμημάτων ἐκείνων, Ἀνάγνωσιν. Διὸ δὴ καὶ τὰ Τροπάρια, τὰ, μέρους τινὸς ἐκ τοῦ Ψαλτηρίου ἀναγνωσθέντος, διαμελῳδούμενα τότε, εἴωθε καλεῖσθαι ΚΑΘΙ'ΣΜΑΤΑ· ὡς ἐκ τοῦ ΙΖ'. Καν: τῆς ἐν Λαοδικ: Συνόδου μανθάνομεν: ὅν ὁ Βαλσάμων διερμηνεύων, „Τῶν ψαλμῶν (φησὶν) ἀναγινωσκομέ„νων διὰ μιᾶς ὑφῆς, κατὰ παλαιὰν πα„ράδοσιν, καὶ τοῦ συναγομένου Λαοῦ ἀποκ„ναίοντος, καὶ ἐξερχομένου ἀπὸ τῆς „Ἐκκλησίας, Ὥρισαν οἱ Πατέρες μὴ „συναπτῶς ἐν ταῖς Συνάξεσιν ἐκφωνεῖσ„θαι τοὺς ψαλμοὺς, ἀλλὰ διὰ μέσου γίγ„νεσθαι καὶ ἀναγνώσεις, ἐπὶ τῷ ἀναπαύ„εσθαι τὸν Λαὸν πρὸς μικρὸν, καὶ πάλιν „ψάλλειν. Διὰ γὰρ τοῦτο καὶ εἰς Καθίσ„ματα διάφορα τὸ Ἱερὸν κατεμερίσθη

ψαλ-

ψαλτήριον. Ταυτὸ δὲ καὶ Ζωναρᾶς προσεμπεδοῖ, ἐν ταῖς αὐτοῦ πρὸς τὸν αὐτὸν Κανόνα Παρασημειώσεσιν.

Οἱ μὲν ἐν Ῥαββὶ τῶν Ἑβραίων, ὥς γε καὶ καθ' ἡμᾶς ἀναγινώσκοντες τὸ ψαλτήριον, ἐν ἡμέραις ἑπτὰ ὅλον διεκπεραίνουσι· διὸ καὶ ἡ Βίβλος αὐτοῖς εἰς μέρη ἑπτὰ διατέτμηται. Τὸν μέν τοι ΡΙΗ ψαλμὸν διέρχονται καθ' ἑκάστην.

Παρ' ἄλλοις δὲ ὁ ψαλτὴρ διῄρηται εἰς μέρη τριάκοντα· καὶ εἰς ἡμέρας δὲ ἰσαρίθμους (κατὰ Μῆνα δηλονότι) ἀναγινώσκεται. Ὁ δὲ Κασσιανὸς (ἐν Βιβλ: Β'. Κεφ: Δ'. καὶ Ε'.) καθιστορεῖ, ὡς ἐν Αἰγύπτῳ, κἀν τῇ Θηβαΐδι τὸ πάλαι διώρισο, δυωκαίδεκα μὲν ψαλμοὺς ἡμέρας, δυωκαίδεκα δὲ νυκτὸς, ἐκ τοῦ ψαλτῆρος ἀναγινώσκεσθαι.

## ΚΑΝΩ'Ν·

Ὄργανον ἐστὶν εὐθυντήριον, καθ' ὃ εὐθεῖα τις γραμμὴ ἄγεται ἐπὶ ἐπιπέδου καταγραφομένη. Ἀπονέμεται δὲ τοὔνομα τοῦ Κανόνος: 1) Τῷ Θεοῦ ῥήματι, ὡς ὅρῳ ὄντι Νόμου καὶ Πίστεως. (Πρὸς Γαλάτ: Κεφ: ς'. 6. — 2) Κανόνες λέγονται καὶ αἱ Συνοδικαὶ Διατάξεις. (Σωκρ: Βιβλ:

Βιβλ: Α΄. Κεφαλ: ΙΒ΄. Καὶ Σωζόμεν: Βιβλ: Α΄. Κεφαλ: ΚΓ΄. Καὶ Δανιὴλ ὁ θεῖος ἐν τῷ περὶ Πίς: Βιβλ: Δ΄. Κεφ: ΙΗ΄. — 3) Κανὼν καὶ ὁ Ἐκκλησιαςικὸς Ὕμνος, ὁ κατὰ τὸ ἁρμόζον τοῖς Ἐκκλησιαςικοῖς τεθμίοις ἐκτελέμενος (ἐν τῷ Τυπικ: τȣ̃ Ἁγ: Σάββα, Κεφ: ΙΕ΄. — 4) Τὰ τῶν Ὠδῶν Τροπάρια, ὅτι καὶ ᾀσμάτων ἀριθμόν τινα συμπληρȣ̃σι, καὶ συντεταγμένα κατά τινας ὅρȣς ἐπιςημόνως εἰσίν. (Τοιȣ̃τοι οἱ Κανόνες, οἱ ἐν τῇ Ὀκταήχῳ, οἱ ἐν τῷ Τριωδίῳ, οἱ ἐν τοῖς Μιναίοις, κτ:)

### ΚΑΤΑΒΑΣΙ΄Α.

Κάθοδόν τινα δηλοῖ, καὶ μετάςασιν ἀπὸ τῶν ἀνωτέρω ἐπὶ τὰ κατώτερα, τȣ̃νομα. Ὅθεν ȣ̃τως ἐπωνόμαςαι ὁ τῆς Ὠδῆς πρῶτος Εἱρμὸς, ὃν ἐπὶ τῷ μελῳδῆσαι ἀμφότεροι οἱ Χοροὶ εἰς μέσον τῆς Ἐκκλησίας ἀπὸ τῶν Χοροςασίων κατίασιν. (Ὅρα τὸ Ἐκκλησ: Τυπικὸν. Σελ: 34.)

### ΚΑΤΗΧΟΎΜΕΝΟΙ.

Προσνέμεται ἡ ἐπίκλησις ἅυτη τοῖς ἐκ τῶν ἑτεροδοξȣ́ντων, τὴν ἡμετέραν ἀσπαζομένοις ὁμολογίαν, καὶ ἀναδιδασκομένοις

μένοις τὴν εὐσέβειαν. Οἱ γὰρ ἐπ' Ἐκκλησίας ἐπιβοώμενοι Διάκονοι, καὶ ἐξελθεῖν ἐπικελεύοντες, πρὸς τοὺς τοιούτους ἀποβλέπουσιν. Αἱ δὲ δὴ πρῶται διατυπώσεις, καὶ εἰσηγήσεις, καθ' ἃς ἐπὶ τὴν Ἐκκλησίαν εἰσάγονται, Κατηχήσεις ἀκούουσι. (Περὶ τούτων ἡ Α΄. ἐν Νικαίᾳ Σύνοδος, ἐν Καν: ΙΔ΄. Καὶ ἡ ἐν Ἀγκύρᾳ, Καν: ΙΔ΄. Καὶ αἱ τῶν Ἀπος: Διαταγαὶ, Βιβλ: Η΄. Κεφαλ: ς΄)

ΚΟΙΝΩΝΙΚΟ'Ν.

Ἆσμα ἐστὶν, ἢ Ὕμνος ἐπὶ τῆς τελετῆς τοῦ Μυστικοῦ Δείπνου εἰωθὼς ἐπιμελῳδεῖσθαι, ἄχρις οὗ πάντες οἱ προσιόντες πιστοὶ πρὸς κοινωνίαν, τοῦ Μυστηρίου μετάσχωσιν. Ἐν μὲν οὖν τῇ τοῦ Χρυσοστόμου Λειτουργίᾳ, λέγεται πρῶτον, τό: Εἷς Ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς· Ἀμήν. Εἶτα ψάλλεται τὸ Κοινωνικὸν τῆς ἡμέρας, ἢ τοῦ Ἁγίου. (Ἐν τῷ Τυπικῷ τοῦ Ἁγ: Σάββα, Σελ: 7·)

ΚΟ'ΛΥΒΑ·

Ὁ σῖτος λέγεται, ὁ σὺν μέλιτι ἑψημένος· Τούτου δὲ τῆς χρήσεως γενέσθαι πρόφασιν ἐν τῇ Ἐκκλησίᾳ ἱστόρηται, ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου. Ἐπειδὴ γὰρ

ἔτος ἐκέλευσε, κατὰ τὴν πρώτην τῶν Ἁγίων Νηστειῶν Ἑβδομάδα, πάντα τὰ εἰς βρῶσιν τε καὶ πόσιν ἐπ' ἀγορᾶς προτιθέμενα ὤνια, τοῖς τῶν εἰδωλοθύτων ἀλισγήμασι συναναμιχθῆναι, ὁ Ἅγ: Μάρτυς Θεόδωρος ὁ Τήρων, ὕπαρ ἀναφανεὶς τῷ Ἐπισκόπῳ, τοὺς εὐσεβεῖς παρῄνεσε, σῖτον μέλιτι συνεψημένον προσφερομένους εἰς τροφὴν παραμυθεῖσθαι τὴν ἔνδειαν· ὅθεν ἡ Ἐκκλησία πρὸς ἀνάμνησιν τοῦ τοιούτου, κατὰ τὴν Παρασκευὴν τῆς πρώτης τῶν Νηστειῶν Ἑβδομάδος, τὸν οὕτως μέλιτι ἀνάκρατον σῖτον παρατίθεσθαι εἰς ἐπισίτισιν διετάξατο. Γίνεται δὲ τηνικαῦτα καὶ πρὸς ἐναγισμὸν τῶν Κολύβων ἡ χρῆσις, κατὰ τὴν Διδασκαλίαν τοῦ Ἀποστόλου· ὅς (ἐν τῇ Α'. πρὸς Κορινθ: Κεφ: ΙΕ'. 36. καὶ 37. καὶ 38.) Τοὺς τὴν Νεκρῶν ἐξαρνουμένους Ἀνάστασιν „οὕτως ἐστὶν ἐξελέγχων: Ἄφρον! Σὺ ὃ „σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ· „καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησό„μενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, „εἰ τύχοι, σίτου, ἤ τινὸς τῶν λοιπῶν· ὁ „δὲ Θεὸς αὐτὸ δίδωσι σῶμα καθὼς ἠ„θέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον σῶμα. Ὁ τοίνυν ῥηθεὶς τῶν Κολύ-

βων τύπος καλῶς ἀναπέθη, τὲς ἐπὶ τῇ θνητότητι ποτνιωμένες, τὴν τῶν νεκρῶν ἐξανάςασιν. Ἡ δὲ δὴ τῦ μέλιτος γλυκύτης, αἰνίττεται τὴν μακαριότητα, ἧς ἀπολαύσεσιν, οἱ ἐν τῇ χάριτι τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ τελευτῶντες, τῦ τὰς παρὰ τῆς Ἐκκλησίας εἰσακέειν δεήσεις, ἑτοίμως ἀέποτε ἔχοντος. (Ὅρα. Συμ: Θεσσαλ: Κεφ: ΤΟΑ΄.)

ΛΑΜΠΑ'Σ.

Ἡ εἰωθεία γίγνεθαι λυχναψία, τελεμένης μάλιςα τῆς Ἱερεργίας, ἐξ ἐντολῆς δείκνυται, ἧς ὁ Θεὸς τῷ Μωσεῖ „ἐνετείλατο" (Ἐξόδ: ΚΕ΄. 31.)„ Καὶ ποιή„σεις Λυχνίαν ἐκ χρυσίε καθαρῦ. Καὶ „(Λευιτ: ΚΔ. 4.) ἐπὶ τῆς Λυχνίας τῆς κα„θαρᾶς καύσετε τὲς λύχνες ἐναντίον Κυ„ρίε, ἕως εἰς τὸ πρωΐ. Καὶ Β΄. Παραλειπομ: „Δ΄. 19. 20.) Καὶ ἐποίησε Σαλωμὼν, καὶ τὰς λυχνίας, καὶ τὲς λύχνες τῦ φωτὸς, κατὰ τὸ κρῖμα, καὶ κατὰ πρόσωπον τῦ Δαβίρ.

Ἡ μὲν οὖν τῶν λύχνων τε καὶ λαμπάδων ἄναψις διετάχθη μάλιςα διὰ τὴν νύκτα. Ἐπεὶ δ' ἔν, ἀπ' ἀρχῆς ἄχρι τῦδε, ἡ τῶν ὁλοκαυτωμάτων Ἱερεργία συνῆπτο τῇ τοιᾷδε Φωτοχυσίᾳ, ὡς ἐπιμαρτυρέσῃ ἄριςα τὴν τῦ εἰς Θεὸν ἔρωτος

τος ἀναπυρσευομένῳ φλόγα, καὶ διὰ τὸ τὰς ὁλοκαυτώσεις τότε τὰ πλεῖστα γίνεσθαι ἐπὶ κοιναῖς δημοτελέσιν εὐχαριστίαις, καὶ εἰς ἀνάμνησιν τῶν παρὰ Θεοῦ εὐεργετημάτων· διὰ τοῦτο ἡ Ἐκκλησία ἐπιτάσσει, ἐν παραπλησίαις νῦν ἁγιαστείαις ἁπανταχοῦ τὰς λύχνων τε καὶ λαμπάδων ἁφὰς διασώζεσθαι.

1) Ἐπὶ τοῦ Βαπτίσματος (Γρηγόριος ὁ Ναζιανζ: ἐν Λόγ: Μ΄. τῷ εἰς τὸ Ἅγ: „Βάπτισμα. „(Αἱ λαμπάδες ἅς περ ἀνάψεις, τῆς ἐκεῖθεν φωταγωγίας Μυστήριον, „μεθ᾽ ἧς αἱ φαιδραὶ καὶ παρθένοι ψυχαὶ „τῷ Νυμφίῳ Χριστῷ ἀπαντῶσιν. — 2) Ἀ„ναπτύσσει δὲ καὶ ἄλλως ὁ αὐτὸς πατὴρ τῶν γινομένων λαμπαδαψίαν, φάσκων ὅτι συμβολικῶς ὑπαινίττεται τὸ ὑπὸ τοῦ „Σωτῆρος ἡμῶν ῥηθέν: „Οὕτω λαμψά„τω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀν„θρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ „ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν „τὸν ἐν τοῖς οὐρανοῖς. — 3) Ἡ ἐν λαμπάσι φωταγωγία ἐτηρεῖτο καὶ ἐπὶ τῶν ἐνταφιασμῶν. Οὕτω καὶ γὰρ ἐπὶ τῆς ἐκφορᾶς τε καὶ κηδείας ἐγένετο τοῦ Θεσπεσίου Κυπριανοῦ, ὡς ὁ Διάκονος Πόντιος, ὁ τὰ κατ᾽ αὐτὸν βιογραφήσας ἱστό-

ρησεν·

ρησεν. Ἀλλὰ καὶ Ἱερώνυμος διέξεισιν, ὡς ἐν τῷ τοῦ Ὁσίου Παύλου κήδει μέγα τι πλῆθος Κληρικῶν τε καὶ Μοναχῶν συνήθροισαι λαμπαδοφορούντων. Καὶ ὁ Νύσσης δὲ Γρηγόριος τὰ αὐτὰ διεξέρχεται εἰς τὸν Βίον τῆς Ἁγίας Μακρίνης. Καὶ Θεοδώρητος δὲ ἐν τῷ Α΄. Βιβλ: τῆς Ἐκκλησιας. Ἱσορ: Κεφ: Λϛ΄. παραπλήσια γράφει περὶ τῆς Ἀνακομιδῆς τοῦ θείου Ἰωάννου τοῦ Χρυσοσόμου. — 4) Ἀνήπτοντο δὲ αἱ λαμπάδες, καὶ τοῦ Εὐαγγελίου ἀναγινωσκομένου, καὶ πρὸ τῶν ἱερῶν ἔτι Λειψάνων τῶν Μαρτύρων προκειμένων. Ἀλλ' ἀκουέσθω Ἱερώνυμος καὶ κατὰ Βιγιλαντίου γράφων τοιάδε: Κηρία οὐκ ἐπὶ „λαμπρᾶς ἡμέρας ἀνάπτομεν, ἀλλ' ἵνα „τὴν νυκτερινὴν ζόφωσιν ἀμωσγέπως „παραμυθήσωμεν. Ἐιδὲ καί τινες ἐκ τοῦ „λαοῦ, ἢ γοῦν καὶ ἐκ τῶν εὐλαβεςέρων „γυναικῶν, εἰς τιμὴν τῶν Μαρτύρων τοῦ-„το ποιοῦσι, τίς ἡ ἐντεῦθεν ζημία; Ἠτιάσαντο ποτὲ καὶ οἱ Ἀπόςολοι ἐπὶ τῇ ἀ-„πωλέιᾳ δῆθεν τοῦ Μύρου, ἀλλ' ὑπὸ τοῦ „Κυρίου ἐπιτετίμηνται· οὐ γὰρ ὁ Χριςὸς „ἐδεῖτο τοῦ Μύρου, ὡς οὐδὲ τοῦ ἐκ τῶν „λαμπάδων Φωτὸς οἱ Μάρτυρες ἐπιδέον-„ται· καιμὴν, ἡ μὲν γυνὴ ἐκείνη εἰς τι-

μὴν

μιὼ τ8 Χριϛ8 ἐκεῖνο ἐποίησε, καὶ ἡ 7ῆς
„διακονίας αὐτῆς ἐυλάβεια ἀποδέδεκται.
„Καὶ ὅσοι ἄρα κηρ8ς ἀνάπτ8σι, κατὰ
„τιὼ πίϛιν αὐτῶν, μιϑὸν ἔχ8σιν. Ὡς
„ὁ Ἀποϛόλος Φησί: Καθὰ προαιρεῖται ἕκαϛος.
„Καὶ γάρ τοι καὶ χωρὶς τῶν Μαρτυρι-
„κῶν Λειψάνων, ἐν ταῖς ἀνὰ πᾶσαν τιὼ
„Ἀνατολιὼ Ἐκκλησίαις, ἐν ῷ τὸ Ἐυαγ-
„γέλιον ἀναγινώσκεται, ἀνάπτεται Φῶ-
„τα, καὶ τ8 Ἡλί8 λαμπρῶς αὐγάζοντος,
8χὶ τῷ ὄντι πρὸς ἀπέλασιν σκότ8ς, ἀλλ᾽
„εἰς ἐπίδειξιν σημεί8 χαρᾶς καὶ Φαιδρό-
„τητος. Καὶ ὁ Ναζιανζιωὸς δὲ Γρηγόριος,
(ἐν τῷ ΜΒ΄. Λόγῳ, τῷ εἰς τὸ Ἅγιον
Πάχα.) Καλὴ μὲν καὶ ἡ χθὲς ἡμῖν
λαμπροΦορία καὶ Φωταγωγία, ιὼ ἰδίᾳ
τε καὶ δημοσίᾳ σιωεϛησάμεθα . . . καὶ
τ8 μεγάλ8 Φωτὸς ἀντίτυπος κτ: Τὸ δ᾽ αὐτὸ
ὁ αὐτὸς κἀν τοῖς περὶ ἀρετῆς Ἰαμβείοις,
τοῖς τῶν ἀϛέρων σελαγίσμασι τὰς τοιάς
δε Φωταγωγίας εἰκάζειν ἔχαιρε. Κἀν τῷ
Μ΄. δ᾽ ἔτι Λόγῳ, τῷ περὶ τ8 Ἁγί8 Βαπ-
τίσματος. (Ὅρα δὲ καὶ Κύριλλον τὸν Ἱερο-
σολυμίτιω, ἐν τῇ Α΄. τῶν Κατηχήσεων.
Καὶ Αὐγ8ϛῖνον εἰς τὸν ΙΕ΄. ψαλμὸν.
Καὶ Ἐυσέβιον εἰς τὸν βίον τ8 Μεγ:
Κωνϛαντίν8, Βιβλ: Δ΄. Κεφ: ΚΒ΄.

## ΛΕΙΤΟΥΡΓΙ'Α.

Τὸ Ἑλληνικὸν ὄνομα ὑπηρεσίαν τε καὶ διακονίαν ἁπλῶς σημαίνει, καὶ ἔςι ταύτῃ γε πάσαις ταῖς ἐν τῇ Ἐκκλησίᾳ τελετεργίαις κοινὸν· ἀλλὰ κατ' ἐξοχὴν, τῇ τελετῇ τῆς ἀναιμάκτε Μυςικῆς Ἱερεργίας ἰδιαιτερόντως ἐπικεκλήρωται. (Ἐυσεβ: Ἐκκλησ: Ἱςορ: Βιβλ: Δ'. Κεφαλ: Α'. Νικηφ: Κάλλι: Βιβλ: Γ'. Κεφ: ΚΕ'. Διαταγ: Ἀπος: Βιβλ: Ε'.)

## ΛΙΒΑ'ΝΟΥ Θυμίασις.

Γίνεται δ' ἡ τοιαύτη Θυμίασις ἡ διὰ τε Λιβανωτε, ἤτοι πρότινος Ἱεροτελεςίας οἷον ἐν ἀρχῇ, 1.) ἀναγινωσκομένων τῶν Ὡρῶν, πρὸ τῆς Λειτεργίας. — 2) Ἐν ἀρχῇ τε Ὁλονυκτίε, καὶ τε Ὄρθρε — 3) Ἐν ἀρχῇ τε Ἐνταφιασμε — 4) Ἐν ἀρχῇ τῆς Παννυχίδος. Ἢ γεν, ἀρξαμένων ἤδη τῶν ὕμνων ᾄδεσθαι, καὶ τῆς Δοξολογίας.

1) Ὡς ὅτε ψάλλεται τὰ Στιχηρὰ μετὰ τὸ: Κύριε ἐκέκραξα κτ: — 2) Ὅτε τὰ Στιχηρὰ προσᾴδεται τῆς Λιτῆς. — 3) Ἀδομένε τε Τροπαρίε πρὸ τῆς Ἐυλογίας τῶν Ἄρτων. — 4) Ὅτε ᾄδεται τὸ: Αἰνεῖτε τὸ Ὄνομα Κυρίε κλ: — 5) Ὅτε τὸ: Μεγαλύνει ἡ ψυχήμε τὸν Κύριον κτ: — 6) Ἐπὶ τῆς Λειτεργίας, μετὰ τὴν τε Ἀποςόλε Ἀνάγνωσιν, ᾀδο-

μένε Ἀλληλεΐα. — 7) Ὅτε ψάλλεται τό: Οἱ τὰ Χερεβὶμ κτ: — 8) Ὅτε τό: Ἄξιόν ἐςὶ κτ: — 9) Ὅτε τό: Εἴδομεν τὸ φῶς τὸ ἀληθινὸν κτ:

ΛΙΤΗ.

Διὰ δὴ τέτε τε ὀνόματος, αἱ πρὸς Θεὸν δηλεῦνται θερμόταται Δεήσεις καὶ ἱκεσίαι. Ἰςέον δὲ ὅτι Ἐκτενὴς καλεῖται ἡ Συνήθης δέησις ἐν τῇ Ἐκκλησίᾳ, ἡ ἐπαναλαμβανομένη ἔντε τῇ Λειτεργίᾳ. κἀν ταῖς Ἑσπεριναῖς τε καὶ Ἐπορθρίοις ἄλλαις ἀκολεθίαις· ἡ δὲ τοιαύτη Δέησις, ἐφ᾽ ἧς τὸ Κύριε ἐλέησον καθ᾽ ἑκάςην τῶν Αἰτήσεων τρὶς ἐκφωνεῖται, Δέησις ἐπονομάζεται διπλασίων ὡς, οἷον εἰπεῖν, ἐπιμόνως τε καὶ ἐπαλλήλως σωεχιζομένη ἔντευξις. (ὅραμοι τὸν Θεῖον Χρυσός: ἐν τῷ Λόγῳ τῷ περὶ τῆς Λειτεργίας. καὶ ἐν Ὁμιλ: Β. εἰς τὴν Β. πρὸς Κορινθ: καὶ ἐν Ὁμιλ: Γ. τῶν εἰς τὴν πρὸς Κολασσαεῖς.)

Ἐπὶ μὲν ἒν τῶν Ἑορτῶν, ἐν αἷς ἀνάμνησις εἴωθε γίνεσθαι τῶν ἐξαιρέτων τε Θεε εἰς ἡμᾶς εὐεργετημάτων, οἷον ἐπὶ τῆς τε Εὐαγγελισμε, φέρε, τῆς τῶν Βαΐων, ὡς κ, ἐπὶ τῶν ἄλλων τε Δωδεκαόρτε: Καθάπερ ἒν κ, ἐπὶ τῶν συμφορῶν, κ, τῶν

 ανιε-

ἀνιαρῶν ἐπισκηπτουσῶν περιστάσεων· οἷον αὐχμοῦ τε καὶ δυσκρασίας ἀέρος, καὶ τῶν τοιούτων, ἡ Ἐκκλησία, ὡς ἂν μᾶλλον ἔτι καὶ μᾶλλον ἐκφήνῃ τὰς ἑαυτῆς πρὸς τὸν δοτῆρα τῶν ἀγαθῶν εὐχαριστηρίους ἐξομολογήσεις τε καὶ δεήσεις, ἔξεισιν ἐπ' αὐτῶν τῶν Χωρίων καὶ τόπων, ἔνθα τὸ θεῖον ἐπέλαμψεν ἔλεος· ἢ, καὶ ταῖς διὰ περιπάτου προόδοις χωροῦσα προβαίνει, ἄχρις οὗ τὸ ἐλεεινὸν προφθὰν ἐνέσκηψε λάχος, τροπάρι' ἄττα ἐνδελεχῶς ψαλτῳδοῦσα καὶ μέλπουσα, τὰ προσφυῶς τῇ περιστάσει ἁρμόζοντα. Πολλάκις οὖν, ἐν ταῖς ἐπαναλαμβανομέναις εὐχαῖς καὶ ἐπιδεήσεσι, παρεντίθενται τὸ μεταξὺ ἐκ διαλειμμάτων καὶ Ὁμιλίαι, ὑπὸ τῶν Ἱεροκηρύκων δημηγορούμεναι, κατὰ τὸν σκοπὸν τῆς ἐξόδου καὶ προελεύσεως. Καὶ μὲν δὴ, περιΐασιν οὕτως ὅ τε, Κλῆρος καὶ ὁ Λαὸς, Πόλεις τε καὶ Μοναστήρια παραμείβοντες· Ἵστανται δέ που μικρὸν καὶ ἐν ὡρισμένοις τόποις, οἷον μάλιστα πρὸ τῶν Πυλώνων τῶν Ἐκκλησιῶν, ἢ καὶ τῶν Πόλεων, ὅπου ἀναγινώσκονται αἱ Ἐκτενεῖς, ἃς ὁ Κλῆρος ἀναδέχεται ἀποκρινόμενος. Ἔσθ' ὅτε γεμὴν καὶ ὁ Λαὸς ἀθρόως συνυπεξεδέχετο ὡσαύτως ἐπαναβοώμενος

μενος ἐν ἐπαναλήψει τό: Κύριε ἐλέησον. Ἡ τοίνυν οὕτως ἐπιτελουμένη προέλευσις, καλεῖται Προέλευσις, ἢ Πρόοδος τοῦ Σταυροῦ. Εἰώθασι δὲ ἐν αὐτῇ ἐπᾴδεσθαι, οἱ Κανόνες τῆς συγκυρούσης κατὰ καιρὸν Ἑορτῆς, ἢ τινὸς τῶν Ἁγίων, ἵν' οἱ προοδεύοντες ὦσιν ἐνασχολούμενοι περὶ σωτηριώδεις ἐννοίας καὶ ἐνθυμήσεις ψυχωφελεῖς. Ἐγίνετο γοῦν τὸ πάλαι ἡ τοιάδε τελετὴ ἐπὶ τῆς νυκτερινῆς τὰ πλεῖστα ἀκολουθίας. Ἀλλ' ἐπειδὴ γὰρ τὸ ἐπιπολάζον ἐν νυκτὶ σκότος, οὐ μικρὰς πέφυκε συνεχῶς τὰς δυσχερείας ἐπιφέρειν, ἡ πρᾶξις, καθ' ἡμᾶς ἤδη, ἐν τῷ τοῦ Ναοῦ Προαυλίῳ φιλεῖ περαίνεσθαι.

ΛΥΧΝΙΚΟ'Ν.

Οὕτω καλεῖται ἡ κατὰ τὸ Ἑσπέρας προσευχή τε καὶ ἔντευξις, ὡς ὑπὸ λύχνῳ ἤδη ἀνημμένῳ ἀναγινωσκομένη, ἢ καὶ διὰ τὴν λαμπάδα, ἥτις τηνικαῦτα ἐφάπτεσθαι ἔωθε πρὸ τῆς ἐν τῷ Ναῷ Πύλης, τῆς λεγομένης Βασιλικῆς. (Ὅρα ἐν τῷ Ἐκκλησ: Τυπικ: Κεφ: Β΄.)

ΜΗΝΟΛΟ'ΓΙΟΝ.

Οὕτως ἐπιγράφεται τὰ Βιβλία πάντα, ἐν οἷς ἐκτεταγμέναι αἱ τῶν Ἁγίων Ἑορ-

Ἑορταςικαὶ ἀκολεθίαι, εἰσὶ κατὰ τὴν τῶν Μηνῶν, καὶ τῶν Ἡμερῶν διαδοχὴν τε καὶ ἐξαρίθμησιν.

## ΜΙ'ΤΡΑ.

Ὁ πῖλος, ᾧ τὴν κεφαλὴν καλύπτονται ἱερεργεντες οἱ κορυφαῖοι τῆς Ἐκκλησίας ποιμάντορες. Ἔχε δὲ τὴν ἀρχὴν ἀπὸ τῶν ἐν τῇ παλαιᾷ Διαθήκῃ Ἀρχιερέων. Ἐν μέν τοι τῇ Νέᾳ Διαθήκῃ πρῶτοι, ὅ, τε Ῥώμης Ἐπίσκοπος, καὶ ὁ τῆς Ἀλεξανδρείας, μιτροφορεῖν κατηρξαντο. (Γαβριὴλ ὁ Μητροπ: Πενταπόλ: ἐν Ἐρωτ: Κ'.)

## ΜΥ'ΡΟΝ.

Ὁ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν τῷ περὶ τῆς Ἐκκλησ: Ἱεραρχ: ἐν ἀρχῇ τε Δ'. Κεφ:) περὶ τε Ἁγιασμε τε Μύρε πραγματευόμενος γέγραφε: „Κα„τὰ τὸν αὐτὸν τῆς Συνάξεως τρόπον, „αἱ τῶν ἀτελειώτων ἀπολύονται τάξεις „προηγησαμένων δηλαδὴ, τῆς τε Ἱεραρ„χικῆς ἐπὶ πᾶν τό Ἱερὸν εὐόσμε περι„αγωγῆς, καὶ τῆς ψαλμικῆς ἱερολογίας, „καὶ τῆς τῶν θειοτάτων Λογίων ἀναγνώ„σεως. Εἶτα τὸ Μῦρον ὁ Ἱεράρχης λα„βὼν, ἐπιτίθησι τῷ θείῳ Θυσιαςηρίῳ,

„περι-

„περικεκαλυμμένος ὑπὸ δύωκαίδεκα πλέ-
„ρυξιν ἱεραῖς· ἀναβοώντων ἁπάντων ἁ-
„γιωτάτῃ Φωνῇ τὸ Ἱερὸν τῆς τῶν θεο-
„λήπτων Προφητῶν ἐπιπνοίας μελῴδημα·
„καὶ τὴν ἐπ᾽ αὐτῷ τελεσμένην εὐχὴν ἀποπλη-
„ρώσας ἐν ταῖς ἁγιωτάταις τῶν ἀφιερωμέ-
„νων τελεταῖς αὐτῷ χρῆται πρὸς πᾶσαν σχε-
„δὸν Ἱεραρχικὴν τελεσιουργίαν. (Διαταγ:
τῶν Ἀπος: Βιβλ: Γ΄. Κεφ: Ιϛ΄. καὶ Βιβλ:
Ζ΄ Κεφ: ΚΒ΄.) Χρίσεις πρῶτον ἐλαίῳ Ἁγίῳ,
ἔπειτα δὲ βαπτίσεις ὕδατι, καὶ τελευταῖον Σφρα-
γίσεις Μύρῳ.

ΜΥΣΤΗΡΙΑ τὰ Ἐπέτεια.

Ἐτηρεῖτο πάλαι αὐτὰ ἐντὸς πυξί-
δος, εἶδος ἐχούσης περιστερᾶς, ὕπερθε τῆς
Ἁγίας Τραπέζης μετεώρου ἠρτημένης,
χάριν τῶν νοσούντων, ἢ τῶν ἐν Εἱρκτῇ
κατεχομένων. (Διαταγ: Ἀπος: Βιβλ:
Η΄. Κεφ: ΙΓ΄. Καὶ παρ᾽ Εὐσεβίῳ καὶ Διο-
νυσ: περὶ Σεραπίων: Βιβλ: ϛ΄. Κεφ: ΜΔ΄.)

ΟἸΚΟΣ.

Τροπάριόν ἐστι, τὸν προσήκοντα ἔ-
παινον Ἁγίου τινὸς ἐν Κεφαλαίῳ περιέ-
χον, καὶ τῶν ἐκείνῳ διαπεπραγμένων
ἐπισωρεύον τὰ κυριώτερα. (ἢ καὶ τινὸς
ἑορτῆς τὴν ὑπόθεσιν κατ᾽ ἐπιτομὴν πα-
ριστάνον.) (Γεννάδ. Κεφ: Δ΄.)

ὈΚΤΩΉ-

ὈΚΤΩ'ΗΧΟΣ.

Ἡ Βίβλος ἡ περιέχεσα τὰ Στιχηρὰ, καὶ τὲς Κανόνας τῶν ὀκτὼ ἀσματικῶν Ἤχων.

ΠΑΝΑΓΙ'Α.

Ἐικόνας δύο ἐν κυκλοτερέσι δικλίσι πίναξι γεγραμμένας, οἱ τῶν ἐπισήμων Μοναςηρίων προϊςάμενοι ἔφερον ἐπὶ τοῦ τραχήλου, ἐν καιρῷ τῆς τραπέζης· ἧς πέρας λαβέσης, τὲς μὲν πίνακας τό τεως συνεπτυγμένες διέςελλον ἀναπτύσσοντες, τὴν δ᾽ ἐν αὐτοῖς ἐναποκειμένην ἐκ τῆς προσφορᾶς μερίδα ἐξαίροντες ςαυροτύπως ἀνύψεν. Ἡ δ᾽ ὕψωσις ἐγίνετο εἰς τὸ ὄνομα τῆς ΠΑΝΑΓΙ'ΑΣ ΘΕΟΤΟ'ΚΟΥ. Ἐντεῦθεν ἔν αἱ Εἰκόνες, ἅς περ οἱ Προεςῶτες ἐπιφέρονται ἠρτημένας ἐπὶ τὲ ςήθες, τῷ αὐτῷ ὀνόματι ΠΑΝΑΓΙ'ΑΙ κοινῇ καλἔνται. Ἀλλὰ γὰρ τὲς Πατριάρχας, καὶ τὲς λοιπὲς τῶν Ἱεραρχέντων, Ἐικόνας ὥριςαι ἐπιφέρεσθαι τὰς τῶν Ἁγίων, ὑφ᾽ ὧν τοῖς ὀνόμασι καθιέρωνται τῶν ὑπ᾽ αὐτὲς Ἐκκλησιῶν αἱ πρωτεύεσαι. Καὶ διὰ τὸν αὐτὸν τοίνυν λόγον, καὶ αἱ Ἐικόνες αὗται, ὀνομάζονται ΠΑΝΑΓΙ'ΑΙ. (Συμεὼν ὁ Θεσσαλ: ἐν Κεφ: ΤΝΖ'.)

ΠΑΝ

## ΠΑΝΝΥΧΙΣ.

Ἑλλωισὶ ἡ φωνὴ, τῶν ψαλμῳδιῶν τὰς Ὁλονυκτίȣς σημαίνει. Ἀναφέρεται δὲ μᾶλλον ἐπὶ τȣ̀ς ἐκτελȣμένȣς ὑπὲρ τῶν τεθνεώτων Ἐναγισμȣ̀ς. (Συμ: Θεσσαλ: Κεφ: ΤΝϚ΄. καὶ ΤΟΑ΄. καὶ ΤΟΒ΄. καὶ ΤΟΓ΄.)

## ΠΑΡΑ΄ΔΟΣΙΣ.

Γρηγόριος ὁ Νύσσης (κατὰ Εὐνομίȣ Λόγ: Γ΄.) „Καί μοι μηδεὶς ὑποκ...έτω „(φησὶ), καὶ τὸ παρ᾽ ἡμῶν διομολογȣ́με„νον διὰ κατασκευῆς κυρωθῆναι. Ἀρκεῖ „γὰρ εἰς ἀπόδειξιν τȣ̃ ἡμετέρȣ λόγȣ, „τὸ ἔχειν πατρόθεν ἥκȣσαν πρὸς ἡμᾶς „τὴν παράδοσιν, οἷον τινὰ κλῆρον, δι᾽ „ἀκολȣθίας ἐκ τῶν Ἀποςόλων διὰ τῶν „ἐφεξῆς Ἁγίων παραπεμφθέντα. Καὶ ὁ Ἱερὸς δὲ Ἐπιφάνιος (ἐν τῷ Γ΄. Βιβλ: τῆς Ἐκθέσεως τῆς Καθολικῆς Πίςεως) „γράφει. „Οὐ γίνεται λατρεία τῆς „οἰκονομίας, ἢ μόνον ἐπιφωσκȣ́σης τῆς „Κυριακῆς, ὅτε ἀπολύει περὶ τὴν Ἀλεκτ„ρυόνων κλαγγὴν, ἐν τῇ Ἀναςασίμῳ „ἡμέρᾳ καὶ πανηγύρει μεγάλῃ τȣ̃ Πάσ„χα, ὡς προςέτακται. Τὰ δὲ ἄλλα Μυ„ςήρια, περὶ λȣτρȣ̃, καὶ τῶν ἔνδο

„Μι

„Μυςηρίων, ὡς ἔχει ἡ Παράδοσις τῦ τε
„Ευαγγελίυ. καὶ τῶν Ἀποςόλων, ὅτως
ἐπιτελεῖται. Καὶ ἐν τῷ Β΄. Βιβλ: Αἱρέσ:
ΜΑ΄.) Πάντα τὰ θεῖα ῥήματα (φησὶν)
ὐκ ἀλληγορίας δεῖται, ἀλλὰ ὡς ἔχει.
„Δεῖ δὲ καὶ Παραδόσει κεχρῆσθαι· ὀυ γὰρ
„πάντα ἀπὸ τῆς θείας Γραφῆς δύναται
„λαμβάνεσθαι. Διὸ τὰ μὲν ἐν Γραφαῖς,
„τὰ δὲ ἐν Παραδόσει παρέδωκαν οἱ Ἅ-
„γιοι Ἀπόςολοι. (Ὅρα μοι καὶ τὴν Α΄.
πρὸς Κορινθ: Κεφ: Β΄. 2 καὶ 15. Καὶ
Βασίλειον δὲ τὸν Μέγαν, ἐν τῷ περὶ τῦ
Ἁγ: Πνεύματος, Κεφ: ΚΖ΄.)

ΠΑΡΑ΄ΚΛΗΣΙΣ.

Ὁ Κανὼν, ὅς ἀναγινώσκεται, ἢ
ψάλλεται, ἐπί τινος ἐπιγενομένης ἐπι-
σήμυ φαιδρότητος καὶ χαρμονῆς. Ἄλλως
τε δὲ, πρόσθες (εἰ βύλει) καὶ ἐπὶ ἀνιαρᾶς τινος περιπετείας πρὸς παραμυθίαν.)

ΠΑΡΑΠΕ΄ΤΑΣΜΑ.

Τὸ διαχωρίζον ἐςὶ, τὸ τῦ Ναῦ ἐξώτερον μέρος ἀπὸ τῦ ἐσωτέρυ· τυτέςιν ἀπὸ
τῦ Ἱερῦ Βήματος: εἰς ὅ μόνοις θέμις τοῖς
ἐπὶ τὴν Ἱερυργίαν ἀφωρισμένοις εἰσέρχεσθαι. (Ἀθανασ: Ἐπις: πρὸς τὺς Ἀναχωρητάς.

ΠΑΡΟΙ-

## ΠΑΡΟΙΜΙ'Α.

Παροιμία 1) καὶ ἡ Παραβολὴ λέγεται, Διδασκαλία τις ἐσα ἐπωφελεςάτη, ἐν ἀλλοτριωτέροις ἐκφερομένη ὀνόμασι. ἤγεν Παροιμιωδῶς. Τοιαύτη ἡ Βίϐλος ἡ Σολομόντιος. Ἀλλ᾽ ὑπὸ τῷ τῶν Παροιμιῶν ὀνόματι, καὶ ἄλλων Ἱερῶν Συγγραφέων Βίβλοι εἰσὶ συνεκλαμβανόμεναι. 2) ἡ Παροιμία σημαίνει, καὶ Διήγησιν τινὰ παρὰ τὸν οἶμον· ὅ ἐςι παρὰ τὴν ὁδόν. (Κύριλλος Ἀλεξανδρ: Βιβλ: ΙΑ΄. εἰς τὸν Ἰωάν: Καὶ Ἀθανάσ: ἐν τῇ Συνόψει τῆς Ἱερᾶς Γραφῆς. Καὶ Ἰεςῖν: ὁ Μάρτυς, ἐν τῇ Ξ΄. τῶν Ἀποκρίσεων, προςιθεὶς ὅτι ἡ Παροιμία, λόγος τις ἐσα περὶ παρωχηκότος, εἰκόνα τινὰ περιέχει τε μέλλοντος.

## ΠΟΛΥΕ΄ΛΕΟΣ, ἢ ΠΟΛΥΕ΄ΛΑΙΟΣ.

Ὅτι τε ΡΛΔ΄. καὶ τε ΡΛΕ΄. τῶν ψαλμῶν ᾀδομένων, πολλαὶ Λαμπάδες εἰώθασιν ἀνάπτεσθαι, ἐπιδαψιλευομένου ἐν αὐταῖς τε ἐλαίε, τὸ ᾆσμα ἔτως ὠνόμασαι ὁ ΠΟΛΥΕ΄ΛΑΙΟΣ, τὴν παραλήγεσαν διφθογγογραφέμενος. Παρ᾽ ἄλλοις μέντοι, διὰ τε φωνήεντος (Ε) γράφεται ΠΟΛΥΕ΄ΛΕΟΣ, καὶ μεθερμινεύεται ἄλλως: παρὰ τὸ ἐν τοῖς εἰρημένοις

μένοις ψαλμοῖς, τῶν πολλῶν τοῦ Θεοῦ πρὸς ἀνθρώπους εὐεργετημάτων γίνεσθαι μνείαν· καὶ δὴ, καὶ διὰ τὸ πολλάκις ἐν αὐτοῖς τοῖς στίχοις τοῖς ψαλμικοῖς ἐπαναλαμβάνεσθαι προσεπᾳδόμενον ἐνδελεχῶς τὸ Ἀκροτελεύτιον: Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

## ΠΟΛΥΣΤΑΥΡΙΟΝ.

Ἐσθὴς Ἱερὰ, ἡ δι' ὅλης τῆς ἐπιφανείας, ἐν πολλοῖς Σταυροῖς συνεξυφανθεῖσα: Ἣν πάλαι οὐδενὶ δέδοτο ἀμφιέννυσθαι, εἰμὴ τῷ Πατριάρχῃ, καὶ τοῖς Ἀρχιερεῦσι.

## ΠΟΤΗΡΙΟΝ.

Οὕτω τοι Μυστικῶς τὸ τοῦ Κυρίου πάθος, ὑπ' αὐτοῦ προσείρηται. Ὀνομάζεται δὲ, καὶ τὸ Σκεῦος τὸ περιέχον αὐτὰ τά Μυστήρια, Ποτήριον, ὡς διὰ τῶν ἐν αὐτῷ ἀποκειμένων, τὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Θάνατον καταγγέλλον, (Βασίλειος εἰς ψαλμ: Πϛ΄. Καὶ ὁ Εὐαγγελ: Ματθ: Κεφ: Κ΄. 23. Καὶ Θεοδώρητος εἰς Ψαλμ: Ι΄. 7. Καὶ Χρυσός: Ὁμιλ: ΙΖ΄: εἰς τὴν πρὸς Ἑβρ:, καὶ Ὁμιλ: ΜΕ΄. εἰς τὸν Ματθ:)

## ΠΡΕΣΒΥ'ΤΕΡΟΣ.

Σημαίνει τὸν γηραιόν· μετείληπται δὲ τὄνομα ϰ̀ εἰς δήλωσιν ἐχὶ πολυετείας, ἀλλ' ἐπαγγελίας, ϰαὶ ἀξιώματος· Περὶ γὰρ τῶν Πρεσβυτέρων ὁ Ἀπόςολος, ἐν τῇ Α΄. πρὸς Τιμόθ: Κεφαλ: Ε΄: 17. γράφων φησί: διπλῆς τιμῆς αὐτὲς ἀξιἔσθαι· Ὁ δὲ Κλήμης ὁ Ἀλεξανδρεὺς, ἐν τῷ ς΄. τῶν „Στρωμάτων ἀποφαίνεται: „Ὅτι ὄντως „Πρεσβύτερος ἐςὶ τῷ ὄντι τῆς Ἐκκλη„σίας, ϰαὶ Διάκονος ἀληθής τῆς τὲ Θεὲ „βελήσεως, ἐὰν ποιῇ ϰαὶ διδάσκῃ τὰ τὲ Κυρίε.

## ΠΡΟΚΕΙ'ΜΕΝΟΝ.

Πρότασίς τις ἐςὶν, ἤ ςίχος τασσόμενός τε ϰαὶ προεκφωνέμενος πρὸ τῆς Ἀναγνώσεως τὲ θείε λόγε. Ὁ δὲ θεῖος Χρυσόςομος εἰς τὸν ΡΗ΄. Ψαλμὸν ἐκδιδάσκει: ὅτι πρὸς τὰ ὑπὸ τοῦ Ἱερέως ἀναγινωσκόμενα, ὁ Λαὸς, ἤ ὁ Κλῆρος, εἰώθει ἅμα συνεπᾴδειν ῥῆσίν τινα ἐκλεχθεῖσαν ἀπὸ τὲ τυχόντος Ψαλμὲ· οἷον τὸ: Αὕτη ἡ ἡμέρα ἣν ὁ Κύριος ἐποίησεν, ἀγαλλιασώμεθα, ϰαὶ εὐφρανθῶμεν ἐν αὐτῇ Ὁ δ' αὐτὸς Πατὴρ (ἐν Ὁμιλ: Λς΄. εἰς τὴν Α΄. πρὸς Κορινθ:) „ὁ Ἀναγινώσκων (φη„σι)

„σὶ) μόνος φθέγγεται, καὶ αὐτὸς ὁ τὴν
„Ἐπισκοπὴν ἔχων ἀνέχεται σιγῇ κα-
„θήμενος. Καὶ ὁ ψάλλων ψάλλει μόνος,
„κἂν πάντες ὑπηχῶσιν, ὡς ἐξ ἑνὸς στό-
„ματος ἡ φωνὴ φέρεται.

### ΠΡΟΣΚΟΜΙΔΗ'.

Ἡ προσένεξις, ἢ τὸ Δῶρον ὃ προ-
σενέγκεται. Ἢ τοὔνομα ἰδιαίτερον ἀφορᾷ
τὰς μερίδας τὰς ἀπὸ τῶν προσκομιζομέ-
νων Ἄρτων ἀπολαμβανομένας. (Χρυσό-
στομος ἐν Ὁμιλ: Γ΄. εἰς τὴν Β΄. τῶν πρὸς
„Τιμόθ.) „Τί δὴ τοῦτο ἐστὶν; ἡ προσφο-
ρὰ ἡ αὐτὴ ἐστὶ, κἂν ὁ τυχὼν προσενέγ-
„κῃ. Κἂν Παῦλος, κἂν Πέτρος ἡ αὐτὴ
„ἐστὶν, ἣν ὁ Χριστὸς τοῖς Μαθηταῖς ἔδω-
„κε, καὶ ἣν νῦν οἱ Ἱερεῖς ποιοῦσιν, οὐδὲν
„αὕτη ἐλάσσων ἐκείνης· ὅτι καὶ ταύτην
„οὐκ ἄνθρωποι ἁγιάζουσιν, ἀλλ᾽ αὐτὸς ὁ
„καὶ ἐκείνην ἁγιάσας.

### ΠΡΟ'ΣΚΥ'ΝΗΣΙΣ.

Βασίλειος ὁ Μέγας ἐν τοῖς περὶ τοῦ
Ἁγ: Πνεύματος, Κεφ: ΚΖ΄. φησί: „Πάν-
„τες μὲν ὁρῶμεν κατὰ Ἀνατολὰς ἐπὶ
„τῶν προσευχῶν· ὀλίγοι δὲ ἴσμεν, ὅτι
τὴν ἀρχαίαν ἐπιζητοῦμεν πατρίδα, τὸν
„Παράδεισον ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν
Ἐδὲμ

Ἐδὲμ κατὰ Ἀνατολάς. Καὶ ὀρθοὶ μὲν „πληρῶμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ τῶ „Σαββάτω, ὅτι δοκεῖ, ὡς τῶ προσδοκω-„μένω Αἰῶνος εἶναι Εἰκών. Ἐν ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς διασώζεται.

ΠΡΟΣΦΟΡΑ'.

Αὐτὸ τὸ προσενεχθὲν, ἤτοι τὸ δῶρον, ὃ προσφέρεται ὑπὸ τῶν Πιςῶν ἐν τῇ Ἐκκλησίᾳ. Νοητέον δὲ, ὠ μόνον τὼς προσφερομένης ἄρτως, ἀλλὰ καὶ πᾶν ὁ-τιῶν ἂν προσενέγκοιτο. (Ἰωςῖνος ὁ Μάρτυς ἐν τῇ Β΄. τῶν Ἀπολογιῶν. Κυπριανὸς περὶ Ἐλεημοσιώης Ἀποςολ: Κανόν: Ε΄. καὶ ΛΑ΄. Χρυσός: Ὁμιλ: ΙΗ΄. τῶν εἰς τὰς Πράξ: τῶν Ἀποςόλων.)

ῬΙΠΙ'Σ ἢ ῬΙΠΙ'ΔΙΟΝ.

Σύμβολον οἷον καθίςαται τῶ Χερωβείμ· ἐν χρήσει δὲ προσελήφθη ἐν τῇ Ἐκκλησίᾳ, ἵνα τῇ διὰ τῶδε τῶ ὀργάνω ἐπισκιάσει, καὶ τῇ διαῤῥιπίσει, ἀποσοβῆται τῶν θείων Δώρων τὰ ἐφιπτάμενα ζωΰφια. Τὸ δὲ δὴ τοιῶτον Ῥιπίδιον ἐκ πτερῶν σωίςαται, ἢ κλάδων. Ἀντὶ τώτω δ᾽ ἐνίοτε, καὶ ἕν τι τῶν Ἱερῶν ὀθονίων, τῶν ἐπὶ τῆς Ἁγίας Τραπέζης γινομένων

ἐν

ἐν χρείᾳ παραλαμβάνεται. (Συμ: Θεσσαλ: Κεφ: ΟΒ΄. καὶ ΠΗ΄. καὶ ΡΟΔ.)

ΣΑ΄ΚΚΟΣ.

Πενθικὸν ἱμάτιον, ὅ πάλαι ἐν καιρῷ Νηστείας, ἤ Προσευχῆς, ἐπενδύοντο. Οὕτως οὖν καὶ ἡ ἐπὶ ταῖς ἄλλαις ἐπιβαλλομένη ἐσθὴς τῶν Ἀρχιερέων Ἱερουργούντων, τὸ τοῦ Σάκκου ἀπομιμουμένη σχῆμα, καλεῖται καὶ τοὔνομα. Σημαίνει δὲ τὴν τοῦ ποιμαίνοντος περιπαθῆ πρόνοιάν τε καὶ ἐπιμέλειαν εἰς τὸ Θεὸν ἐκδυσωπεῖν, τῷ διεξαγομένῳ ὑπ᾽ αὐτοῦ ποιμνίῳ εἶναι εὐΐλατον. (Συμ: Θεσσαλ: Κεφ: ΙΗ΄.)

ΣΕ΄ΒΑΣ τὸ πρὸς τοὺς Ἁγίους.

Ὁ θεῖος Γρηγόριος ὁ ἐκ Ναζιανζοῦ (ἐν Λόγῳ ΙΗ΄.) Λαμπροῖς Ἐγκωμίοις Κυπριανὸν τὸν Ἱερομάρτυρα καταστέ-
„φων: „Τὰ λοιπὰ (ἔφασκε πρὸς τοὺς
„παρόντας:) παρ᾽ ὑμῶν αὐτῶν προσ-
„θετέον, ἵνα τι καὶ αὐτοὶ τῷ Μάρτυρι
προσενέγκητε· τὴν τῶν δαιμόνων καθαί-
„ρεσιν, τὴν τῶν νόσων κατάλυσιν, τὴν
„τοῦ μέλλοντος πρόγνωσιν· ἃ πάντα δύνα-
„ται Κυπριανοῦ καὶ ἡ κόνις, μετὰ τῆς
„πίστεως, ὡς ἴσασιν οἱ πεπειραμένοι. κτ:
Ὁ δ᾽ αὐτὸς (ἐν τοῖς Ἰαμβ: ἔπεσι, περὶ

Ἀρετῆς

Ἀρετῆς,) ἔλεγεν ἁπλῶς περὶ τῶν Μαρ-
„τύρων: Ὅτι τὴν οἰκουμένην καταστράπ-
„τουσιν, ὥσπερ ἀστέρες, σχεδόν τι πᾶσαν,
„καὶ διὰ τοῦτο καὶ πρεπόντως εἰσὶ τιμώ-
μενοι. — Αἰθρίοις τὲ βήμασιν
„Ἀθροίσμασίν τε καὶ δρόμοις πα-
νεστίοις,
„Ὑμνῳδίαις τε τῶν πόνων ἐπαξίαις.

ΣΗΜΕΙΩΣΙΣ, ἡ

Σταυροειδῶς ἐπισφραγιζομένη.

Ἐπιφάνιος (ἐν Αἱρέσ: Ι΄. Βιβλ: Α΄.) „Τοῦτο τρίτον τῷ Ἰωσήπῳ κατηχήσεως „ἔργον ἐγίνετο, ὅτι οὐκ ἴσχυσεν ἔνθα ὄ„νομα Χριστοῦ, καὶ σφραγὶς Σταυροῦ, φαρμακείας δύναμις. Καὶ Ἀθανάσιος (ἐν Λόγῳ τῷ περὶ τῆς τοῦ Θεοῦ καὶ Λόγου Ἐνσαρκώσεως:) „Τῷ Σημείῳ τοῦ Σταυροῦ „πᾶσα μαγεία παύεται. Καὶ ὁ Τερτυλλι„ανὸς (πρὸς τὴν αὐτοῦ Γαμετὴν, ἐν Βιβλ: Β΄.) „Ἆρα γε λήσῃ, ὅτε τὸ κλινίδιον, τὸ σεαυτῆς σφραγίζεις; Καὶ ὁ Μέγ: Βα„σίλειος (ἐν τῷ περὶ τοῦ Ἁγίου Πνεύμα„τος. Κεφ: ΚΗ΄.) Τῷ τύπῳ τοῦ Σταυροῦ, „τοὺς εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ „Χριστοῦ ἠλπικότας κατασημαίνομεν· πρὸς „Ἀνατολὰς τε ἐτράπημεν κατὰ τὴν προ-

σευχὴν

σευχήν. Καὶ ὁ Χρυσόστομος (εἰς τὴν Β΄. πρὸς Τιμόθ: Ἐπις: Κεφ: Γ΄. Ὁμιλ: Ζ΄.) „Ἐν συνηθείᾳ πολλοὶ κατέστησαν τοῦ „σφραγίζειν ἑαυτοὺς συνεχῶς, καὶ οὐκέτι δέονται τοῦ ὑπομιμνήσκοντος. Καὶ εἰς τὴν πρὸς Κολασσ: Κεφ: Γ΄. Ὁμιλ: Η. „Πι„στὴ εἶ, σφράγισον· ἐπεὶ τοῦτο ἔχω τὸ „ὅπλον μόνον, τοῦτο τὸ φάρμακον; ἄλλο „δὲ οὐκ οἶδα. Καὶ εἰς τὴν πρὸς Κορινθ: . „ . . Ὁμιλ: ΙΒ΄. Δέον μηδὲν ἕτερον „τῷ παιδὶ περιτιθέναι, ἀλλ᾽ ἢ τὴν ἀπὸ „τοῦ Σταυροῦ φυλακήν.

ΣΚΑ΄ΠΟΣ Χάρτου.

Τὸ ἔπος οὕτως ὠνόμασαι, τὸ, ἔστιν ἅ τῶν ὑπότινος Ἁγίου πεπραγμένων διαλαμβάνον. Διαφέρει δὲ τοῦ Τροπαρίου, ἐν ᾧ εἰώθασιν ἐκτίθεσθαι αἱ τῶν κατορθωμάτων, τῶν πολλοῖς καὶ ἄλλοις κοινῶν. (Ὅρα τὸ Τυπικ: τοῦ Ἁγ: Σάββα, Κεφ: Β΄.) Τὰ δὲ τοιαῦτα ἔπη ἀναγραφόμενα οὕτως ἐπικέκληται· (Μήτοι γε ἄρα, ὡς Στυλογραφίαι τινὲς, ἢ ἐπινίκιοι ἀνακηρύξεις; ἐπεὶ καὶ ὁ Στύλος, καὶ ὁ Κλάδος εἴρηται Σκάπος.) Γέγραπται γοῦν, τὴν ὑπεραγίαν Θεοτόκον, κατ᾽ ὄναρ παραστᾶσαν, ὀρέξαι τῷ ἐν Ἁγίοις Ῥωμανῷ, τῷ ἡδυεπεῖ τε καὶ γλυκυφώνῳ, ΣΚΑ΄ΠΟΝ Χάρτου

καὶ

καὶ σωμάτια τῷ Σκάπῳ, καὶ τὴν δεξιότητα αὐτῷ ἐπιδεδωρηκέναι, τὰ ἐφεξῆς παραπλήσια ῎ΕΠΗ. συντιθέναι διώαθαι.

ΣΚΗΠΑ'ΝΙΟΝ, ἢ ΣΚΗ'ΠΩΝ.

Ἡ Βακτηρία, ἢ ἡ Καλάυροψ (ἢ χυδαιότερον ἡ καλεμένη Πατερίτζα·) τῦτο δὲ γνώρισμα ἐςὶ χαρακτηριςικὸν Ποιμένος, τὸ Σκηπάνιον, ὅ φέρων ἐν χερσὶν ὁ Ἐπίσκοπος ὑπομιμνήσκεται τῦ ἰδίυ ἔργυ· τὸ δὲ ἐςὶ, τὺς μὲν κατὰ τῆς Χριςῦ ποίμνης ἐπισκήπτοντας Λύκυς πόῤῥω ἀποσοβεῖν καὶ ἀπελάυνειν· τὰ δὲ πρόβατα, τὰ τῆς Σωτηριώδυς ὁδοῦ παρεκκλίνοντα ἐπιςρέφειν τε καὶ ἐπισυνέχειν, καὶ διεξάγειν. (῞Ορα Συμ: Θασσαλ: ἐν τοῖς περὶ τῆς Λειτυργ: Κεφ: Π'.)

ΣΠΑ'ΡΓΑΝΟΝ.

Τὸ Κάλυμμα, τὸ ὑπὲρ τὰ λοιπὰ τοῖς Ἱεροῖς ἐπιτιθέμενον τῦ Μυςηρίυ Σκέυεσιν, ὅ καὶ ἈΗ'Ρ λέγεται. ῞Ωσπερ γὰρ ὁ Ἀὴρ τὴν γῆν, ὅτω καὶ τὸ τοιόνδε Κάλυπτρον τὰ ῞Αγια Δῶρα περιβάλλει. ῞Απερ ἄλλως καὶ δὶ αὐτῦ τύτυ ἐνίοτε ῥιπίζεται. (Συμ: Θεσσαλ: Κεφ: ηΗ'.

## ΣΤΑΥΡΟ'Σ.

Ὁ θεῖος Ἀθανάσιος (πρὸς Ἀντίοχον ἐν Ἀποκρ: ΛΘ΄. οὕτω φησὶν: "Ὅτι „οἱ ἐξ ἀλαζονείας ἀποςρεφόμενοι προσ„κυνεῖν τὸν Σταυρὸν, καὶ τὰς Εἰκόνας, „λεγέτωσαν οἱ ἀνόητοι . . . Τὸν δὲ „Σταυρὸν πρόδηλον ὅτι, διὰ τὸν ςαυρω„θέντα ἐν αὐτῷ Χριςὸν, προσκυνοῦμεν οἱ πιςοὶ καὶ ἀσπαζόμεθα. ("Ορα καὶ Βασίλ: τὸν Μέγαν ἐν τῷ εἰς τὸ ΙΑ΄. Κεφ: Ἡσαΐου τοῦ Προφήτου.)

## ΣΤΙΧΑ'ΡΙΟΝ.

Τῶν Ἱερῶν Ἀμφίων τὸ ἀμέσως πρῶτον περιτιθέμενον. Εἶναι δὲ ἐώθεν, ἤτοι λευκὸν, ἢ ποικιλόχρουν, ἢ ῥαβδωτὸν. Ἐπεὶ δ᾽ οἱ Ἐπίσκοποι, καὶ οἱ Πρεσβύτεροι, καὶ ἄλλοι ἐπὶ τῷ Στιχαρίῳ ἐξωτέραν ἔτι περιβολὴν ἐνδιδύσκονται, τὸν Φαινόλιον, διὰ τοῦτο Ὑποχίτων τούτοις τὸ Στιχάριον σχετικῶς ὀνομάζεται. (Ἀθανάσιος ἐν τῇ Β΄. Ἀπολογ:, Χρυσόςο: ἐν Ὁμιλ: ΠΒ΄. τῶν εἰς τὸν Ματθ:, Σωζόμενος Βιβλ: Β΄. Κεφαλ: ΚΒ΄.)

## ΣΤΙΧΗΡΑ'.

Πανηγυρικὰ Τροπάρια, κατὰ ῥυθμόν τινα πεποιημένα, ἐκ τῶν προανα-

φωνου-

φωνεμένων ἐν αὐτοῖς ςιχοειδῶν ῥήσεων ὕτω προσαρημένα.

ΣΤΙΧΟΛΟΓΙ'Α.

Ἀνάγνωσις τῶν τε Δαβὶδ ψαλμῶν, εἰς ςίχυς διηρημένων. (Ὅρα ἀνωτ: ΚΑ'-ΘΙΣΜΑ.)

ΣΥΝΑΞΑ'ΡΙΟΝ.

Σιώτομός τις Διήγησις, τελυμένω τινὰ Ἑορτὼ ἐκτιθεμένη, ἢ Βίον τε καὶ Πολιτείαν Ἁγίυ τινὸς περιγράφυσα.

ΤΜΗ'ΜΑ.

Ἐν ταῖς τῶν Ἀποςόλων Διαταγαῖς (Βιβλ: Β'. Κεφ: ΝΖ'.) διώριςαι κατὰ καιρὸν τὼ Ἀνάγνωσιν γίνεσθαι, τῶν τε Πράξεων, καὶ τῶν Ἐπιςολῶν τῶν Ἀποςολικῶν, ὥσπερουῦ καὶ τῶν Τεσσάρων Εὐαγγελιςῶν. Ὁ τοίνυν θεῖος Χρυσόςομος (ἐν ταῖς Ὁμιλ: ταῖς εἰς τὰς Πράξεις) πάτριον εἶναι γράφει τὸν θεσμὸν, τὸν ἀπαιτῦντα τὼ τῶν Ἀποςολικῶν Πράξεων Ἀνάγνωσιν, μετὰ τὼ Πεντηκοςὼ ἀποτίθεσθαι· τυτέςι καταπαύεσθαι. Διέξεισι δέπυ καὶ ὁ Ἱερὸς Αὐγυςῖνος (ἐν Σελ: 144.) ὅτι τὰ τέσσαρα Εὐαγγέλια, διαρκέσης τῆς τεσσαρακονθημέρυ Νηςείας

ἀνέγνωσαι. Ἐκ τούτων οὖν δῆλον, ὡς ἥτε τοῦ Ἱεροῦ Εὐαγγελίου, καὶ ἡ τῶν Ἀποστολικῶν Βιβλίων Ἀνάγνωσις, εἰς Τμήματα τινὰ διῄρητο. Τμήματα δ' ἐννοητέον κυρίως, τὰ ἀπὸ τῶν πρώτων ἀρχόμενα Στίχων τῆς προκειμένης Ἀναγνώσεως.

ΤΡΙΚΗΡΙΑ.

Τρεῖς εἰσὶ Κηροὶ συναπτόμενοι ἅμα, τὸ Μυστήριον ὑπεμφαίνοντες τῆς ὑπερκατανοήτου Τριάδος· ὥσπερ τὸ Δικήριον (περὶ οὗ εἴρηται ἄνωτ:) διὰ τῶν δύο Κηρῶν, τὸ τῶν δισσῶν παρίστησι τῆς ἐπὶ τοῦ Κυρίου ἐνανθρωπήσεως Φύσεων. Ἐνεθροιίζοντο δὲ οἱ Ἀρχιερεῖς δι' αὐτῶν τούτων, (τουτέστι διὰ τοῦ Τρικηρίου καὶ Δικηρίου) εὐλογοῦντες τὸν Λαὸν ἐν Ὀνόματι τοῦ Κυρίου. (Βαλσάμων ἐν τῷ ΞΘ΄. Καν: τῆς ἐν Τρούλλῳ Συνόδου.

ΤΡΟΠΑΡΙΟΝ.

Ἔπος ἐστὶν Ἀσματικὸν, τὰ κοινῇ τοῖς ὁμοταγέσιν Ἁγίοις πᾶσι διαπεπραγμένα καταγγέλλον, οἷον Προφήταις, Μάρτυσι, κτλ: Προστίθεται δὲ τῷ Τροπαρίῳ τὸ τοῦ Ἁγίου ὄνομα ἰδίᾳ, οὗτινος εἰς τιμὴν καὶ δόξαν ἡ ἡμέρα πανηγυρίζεται. Τροπάριον δ' ὀνομάζεται, οἷα καὶ τ' ἄλλα,

καθ'

καθ' ὅτι ποιητικώτερον, εἰς ᾠδὴν μελποργαφεῖται. Ὁ οὖν θεῖος Γερμανὸς ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ φησίν: ὅτι τὸ Τροπάριον, τὸ ἐπὶ τοῦ Β'. Ἀντιφώνου τῶν Τυπικῶν ἐπὶ τῆς Λειτουργίας ἐπᾳδόμενον: Ὁ ΜΟΝΟΓΕΝΗ`Σ ΥΙΟ`Σ καὶ ΛΟ'ΓΟΣ κτ: Ποίημα ἐστὶν Ἰωσὴφ καὶ Νικοδήμου, τῶν ἐνταφιασάντων τὸν Κύριον. Ἄλλοι δ' ἀναγράφουσιν Ἰουστινιανῷ τῷ Αὐτοκράτορι, ὅς ἐκέλευσε τὸ τοιοῦτο Τροπάριον ἐπὶ τῆς Ἱερᾶς Λειτουργίας προσᾴδεσθαι. (Ὅρα §. 164)

ΤΥΠΙΚΩ'Ν Ἀκολουθία.

Ἡ Συμβολικῶς ὑπεμφαίνουσα, καὶ ἐξεικονίζουσα ἁπῶς τὴν Ἱερὰν Λειτουργίαν, (Συμ: Θεσσαλ: Κεφ: ΤΚΒ'.) αὕτη ἐστὶ προσευχή. Διατέτακται δὲ τοῖς Ἀναχωρηταῖς, ὡς τῆς Ἱερᾶς μυσταγωγίας αὐτοῖς ὁπωσοῦν ἀναπληροῦσα τὴν ἔλλειψιν, παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς παρεῖναι, τοῦ ἐν ᾧ τελεῖται Ναοῦ μακρὰν διατρίβοντας. Διό δὴ ἔν τισιν Ἐκδόσεσιν, Ἀκολουθία τῶν Τυπικῶν αὕτη ἐπονομάζεται. Οἷον εἰπεῖν, Λειτουργίας τύπος βραχύς τε καὶ σύντομος.

ΥΠΑ

### ὙΠΑΚΟΗ'.

Τροπάριον προηγέμενον ἀμέσως τῶν κατὰ τὰς Ἀναβαθμὲς Ἀντιφώνων, εἰς προσοχὴν διεγεῖρον τὰς ἀκέοντας. (Ὅρα ἄνωτ: ἈΝΑΒΑΘΜΟΙ', ϗ, ἈΝΤΙ'ΦΩΝΑ.

### ὙΠΟΔΙΑ'ΚΟΝΟΣ.

Ὁ Ἱερὸς Ἱππόλυτος ἐν ταῖς Ἀποστολικ: Παραδόσ. Καν: Θ'. Καὶ αἱ τῶν Ἀποσ: Διατα: Βιβλ: Η'. Κεφ: ΚΑ'. Καὶ ἡ ἐν Λαοδικ: Συνόδ: Καν: ΚΑ'. καὶ ΚΒ'. Καὶ ὁ θεῖος Κυπριανὸς ἐν Ἐπισ: Η'. ϗ Κ'. καὶ ΜΕ'. Ἀλλ' ὅρα καὶ ἐν §. 286.)

### ΦΕΛΟ'ΝΙΟΝ.

Ἱερατικὸν τὲτο περιβόλαιον, ὅ ἐπὶ τῶν ἄλλων ὁ Ἱερεὺς ἀμφιέννυται· διὸ καὶ Φαινόλιον, ἤ καὶ Φαινόλης, προσείρηται· οἷον ὁλοφανὴς εἰπεῖν, παρὰ τὸ τοῖς λοιποῖς ἐπικεῖσθαι. Αὐτὸ δ' εἰς Σύμβολον τῆς πορφυρᾶς χλαίνης, ἣν ἐνέδυσαν τὸν Κύριον ἡμῶν Ἰησὲν Χριστὸν, Γερμανὸς ὁ θεῖος ὑπέθετο. (Ὅρα Χρυσόσ: ἐν τῇ Ι'. Ὁμιλ: τῇ εἰς τὴν Β'. πρὸς Τιμόθ: Κεφ: Δ'. Ἐδαφ: 13.)

## ὩΜΟΦΌΡΙΟΝ.

Ἡ Ἐπωμὶς, ἣν οἱ Πατριάρχαι τε καὶ Ἐπίσκοποι πάντες ἐν τῷ Ἱερυργεῖν φορῦσι. Σημαίνει δὲ τὸ βάρος τῆς ἐπαγγελίας, τὸ διὰ τῆς τῦ ποιμνίυ διεξαγωγῆς αὐτῷ ἐπικείμενον. Δεῖ γὰρ τὸ πρόβατον, ὅπερ ἂν πλανηθείη, ἐμμερίμνως ἀναζητεῖν, καὶ εὑρεθὲν ἐπὶ τὴν ποίμνην ἐπανάγειν. Ταύτητοι καὶ ἡ τοιάδε Ἐπωμὶς ἐξ ἐρίων ἦν ὑφαινομένη, τὴν τῦ ἀπολωλότος προβάτυ παριςῶσα ἐπὶ τῶν ἰδίων ὤμων ἀνάληψιν. Ὁ δὲ Ἱεράρχης τὸ Ὠμόφορον ἀείποτε περιβάλλεται, ὁσάκις ἔργον τι τῆς Ἐπισκοπῆς ἀναβάλλεται. (Ἰσίδωρ: ὁ Πηλυσιώτ: Βιβλ: Α΄. Ἐπις: ΣΚϛ΄. Καὶ Συμ: ὁ Θεσσαλ: ἐν Κεφ: ΠΒ΄.)

## ὩΡΆΡΙΟΝ.

Παράγωγον ἐςὶ τὸ ὄνομα, ἀπὸ τῦ Λατινικῦ (ORA) ὃ δηλοῖ τὰ ςόματα. Ἦν δὲ πάλαι τῇ Ἐκκλησίᾳ τὸ Ὠράριον, ὐδὲν ἄλλ' ἢ ὀθόνιον προμηκέςερον, ὅπερ οἱ Διάκονοι ἀπηρτημένον ἔφερον ἐπὶ τῦ ἀριςερῦ ὤμυ, πρὸς τὸ δι' αὐτῦ ἐκμάσσειν τὰ ςόματα τῶν ἐπὶ τὸ Ἱερὸν δεῖπνον προσερχομένων. Ἐπεὶ δὲ τοῖς Διακόνοις καθῆκε, τὸ καὶ τὰς δεήσεις δημοσίᾳ ἀναγι-

ναγινώσκειν, διὰ τȣ̃το ἐξαίροντες μετὰ τȣ̃ τοιȣ̃δε Ὀθονίȣ τὴν χεῖρα τὸν καιρὸν ὑπεδήλȣν τῆς Ἱκετείας. Παρεκτὸς δὲ τȣ́τȣ, καὶ τὴν ἑαυτῶν τῆς ψυχῆς πρὸς Θεὸν ἀνάτασιν ȣ̃τω παρίςων. Πρὸς δ' ἔτι, κ̀ τοῖς Κατηχȣμένοις ȣ̃δέπως ἐπεσήμαινον τὸ δεῖν ἀπὸ τῆς Ἐκκλησίας ἐξέρχεϑαι. (ἢ ἐν Λαοδικ: Σωόδ. Καν: ΚΒ': καὶ ΚΓ'. Ἰσίδωρ: Πηλȣσ: Βιβλ: Α'. Ἐπις: ΡΛϛ'.)

## ᾨΣΑΝΝΑ.

Ἰȣςῖνος ὁ Μάρτυς (Ἀποκρισ: Η'.) τὴν Ἑβραϊκὴν ταύτην Φωνὴν διερμηνεύων σημαίνειν Φησί: ΜΕΓΑΛΩΣΥΝΗΝ τὴν πάντα ὑπερέχȣσαν.

## ΤΕΛΟΣ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000030855